ΤΟΥ ΑΥΤΟΥ ΓΕΩΡΓΙΟΥ ΔΙΑΚΟΝΟΥ ΤΟΥ ΜΕΤΟΧΙΤΟΥ

ΛΟΓΟΣ ΑΝΤΙΡΡΗΤΙΚΟΣ ΕΠΙ ΤΩι ΤΟΥ ΚΥΠΡΙΟΥ ΤΟΜΩι.

EIUSDEM GEORGII DIACONI METOCHITAE

ANTIRRHETICUS ADVERSUS CYPRII TOMUM.

α΄. Ὁ μὲν δὴ διεξοδικώτερος τῶν ἐμῶν λόγων ἔχει περανθεὶς ὡς οἷόν cod. f. 85. b. τε ἀποχρώντως ἀμφοτέρων ἐκκλησιῶν, ἐν ᾧ τὰ τῆς ὑποθέσεως, οἷς ἀχλὺς ἡ παροῦσα ἐσκέδασται τοῦ ψηλαφητοῦ σκότους ἐκείνου πολλῷ βαθυτέρα, ἀρχῆς ἀπ' ἄκρης ἐντελῶς ἀποδέδεικται, εἰ καὶ οὕτω συνεπτυγμένως τὰ μάλιστα· δέδεικται δὲ ὡς μηδὲν ἄλλο, ἢ ῥῆγμα πρώην ὑπάρχοντα, ἐξ ἐριθείας καὶ φιλαρχίας ἀνονήτου παρεισφθαρέν, καὶ πολλοῖς τῶν πρὸ ἡμῶν περιόπτων ἀνδρῶν, οἷς τὸ πρὸς ἀλήθειαν μὴ ματαίαν δοξομανίαν ἰθυτενῶς ἐνατενίζειν cod. f. 86. a. ζῆλος ἐνῆν, περιαιρεθῆναι περὶ πολλοῦ ἐφιέμενον, οἱ νῦν σκεύη ἀπωλείας ἑαυτοὺς ἀποφῆναι σπουδάζοντες, οὐχ ὅπως ὃ ἦν σχίσμα ταῦτ' εἴασαν μένειν, ἀλλ' ὅτι καὶ τοὺς οἰκείους ἐντεῦθεν διαφόροις κακίας ἐπιτεχνήσεσι κατ' ἀλλήλων ὁπλίσαντες πρὸς τῷ μυρίων ἀνασιουργημάτων εἴδη τεκτήνασθαι, καὶ κατὰ τῶν κειμένων πατρικῶν δογμάτων λυττήσαντες, εἰς καθαρὰν αἵρεσιν σφίσι τὰ τῆς διαστάσεως περιέστησαν· ὧν ἀρχηγὸς μετὰ τὸν πρῶτον σφῶν ἀρχηγόν, τὸν κατὰ θεοῦ τῆς αὐτοειρήνης τραχηλιάσαντα, τὸ Κύπριον ἀνεφάνη τέρας, τὸ μηδὲν ἧττον τὸ νοούμενον, ἢ τὸ φαινόμενον ἀλλόκοτον πλάστουργημα φύσεως· ἀλλ' ὁ μὲν δηλωθεὶς τῶν ἐμῶν λόγων φθάνει περὶ τούτων οὕτω διαλαβών· νῦν δ' ἄλλο ἡμῖν αὐτοῦ που προϋπεσχημένον ἐγχείρημα πρὸς λογικὴν διάσκεψιν παρατίθεται· ὁ κώδιξ τοῦτο, ὃν αὐτὸς τὸ τῆς σατανικῆς οἰήσεως ἔκγονον, καθ' ἡμῶν δῆθεν ὑφάνας ὡσεί τινα βρόχον ἀγχόνης ἑαυτῷ περιάπτει ψυχῆς ὄλεθρον ἐπιφέροντα· εἰ καὶ τοῖς σωματικοῖς ἀνευθυνούμενος καθορᾶται τυραννίσιν ὠχυρωμένος, καὶ ἡμᾶς ἐν τούτοις οὐ διαλιμπάνει πιέζων πολυπλόκων ἐπινοίαις κακώσεων, ἐνδυναμοῦντος τοῦ τὰ ἀσθενῆ ἐνισχύοντος.

β΄. Τὸ μὲν οὖν κατὰ λέξιν πάντα περιλαβεῖν, ὅσα περ ὁ γεννήτωρ οὗτος τοῦ τόμου γράφων ἐν αὐτῷ καὶ λέγων συντίθησιν, οὐκ ἀναγκαῖον ὄν, εἴ γε καὶ ὁ τῶν καιρίων ἐν πᾶσιν ἔλεγχος ἀπολελεσμένος τὸ ἱκανὸν πλουτεῖ πρὸς ἀντίρρησιν· εἰς ἀνάγκην ἄλλως ἡμῖν περιίσταται ἐκ τῆς ἀμφοῖν ἐνθεωρουμένης ἡμῖν, καὶ τοῖς ἀντιδίκοις πρὸς τὰς κατ' ἀλλήλων ἀντιθέσεις cod. f. 86. b. διαφόρου μεταχειρήσεως, τοῖς μὲν ἀναβαλλομένοις τὸ κατ' ἔπος τὰ ἡμῶν τιθέναι ἐπηρτισμένως, εἶθ' οὕτως ἐπιφέρειν τὰ σφέτερα· κἀντεῦθεν ἔστι οὐ τὸ σφίσι συναγόμενον, ὡς ἡμῖν λεγόμενον ὁμολογουμένως συνταττομένοις· ἔστι δ' οὗ κεφαλαίων ὅλων, συκοφαντίας προεπιπλάττουσιν· ἡμῖν δὲ τοὐναντίον

ἅπαν εἰς τοὐφανὲς μετιοῦσι, καὶ προηγουμένως μὲν τὰ σφῶν κατὰ ῥῆσιν καταστρωννύουσιν, εἶτ᾽ ἐπάγουσιν ἐφεξῆς τὰ ἡμέτερα, κἀντεῦθεν τὸ συναγόμενον, καὶ τὸ λεγόμενον αὐτοῖς, ὡς λεγόμενον, καὶ μηδὲ μέχρι συλλαβῆς ἀλλοιοῦσιν οὐδοπωσοῦν· ἐκ δὴ τούτων, καὶ παρὰ ταῦτα περὶ πλείστου πειρατέον τὴν πρὸς ἅπαν εἰωθυῖαν ποιήσασθαι ἀντεξέτασιν, ἐν ὅσοις καὶ μᾶλλον οἱ δογματικοὶ λόγοι περιλαμβάνονται· τοὺς γὰρ παρὰ τούτους ἐν ὕβρεσι τὸ πλέον θεωρουμένους, θήσομεν ἐν δευτέρῳ διελθόντες, ὡς τηνικαῦτα δεῖν νομισθήσεται· κἀπειδήπερ ἐκ τῶν εἰρήμενων τὸ δεδολιευμένον τοῦ ἀνδρὸς ὑποκέκρουσται, καθ᾽ ἡμῶν ἐν οἷς λογογραφῶν ἀπαυθαδιάζεται· τὸ γὰρ κατὰ πᾶν αὐτοῦ πληρεστάτως ἐπὶ τῷ τοιῷδε τρόπῳ πολύμορφον, οὐδ᾽ ἂν ὅλως συγγραφαὶ παραστήσωσι, μικρὸν ἐνταῦθα τὸν λόγον προκαταστήσαντες, ὡς ἂν τὰ τοῦ προκειμένου ἐλέγχου ἐπὶ τῇ πρὸς τοῦτο ληφθείσῃ τομογραφίᾳ ἐν γραφῇ προσκιαγραφήσωμεν, ἐφεξῆς ἐπιβαλοῦμεν τῷ ἐγχειρήματι.

γ΄. Νυκτομαχίας μὲν οὖν ὅτι περ ἀριδήλου, καὶ σκοτομήνης ἐξ ἀμιγοῦς κακίας, ἧς ὁ ταύτης δημιουργὸς πρωτουργὸς ὅσα τῷ Κυπρίῳ εἰς λαβὴν δραξαμένῳ τῆς ἐκκλησιαστικῆς πραγματείας γεγένηται, τίς ἀντερεῖ τὸν νοῦν ἡγεμόνα τιθεμένων λεγομένου καὶ πλαττομένου παντός; ὡς δ᾽ ἐπὶ πᾶσι, καὶ τὸ περὶ οὗ ὁ λόγος, τῆς αὐτοῦ πωρώσεως ἐπινόημα, τί χρὴ καὶ λέγειν; ἀλλ᾽ ἐπὶ μὲν τῶν ἄλλων ἀπόχρη πράγμασιν οὕτω διαβεβαιουμένων, καὶ οὐ προθέσεως ἡμῖν τῆς παρούσης φάναι περὶ αὐτῶν· ἐπὶ τούτου δ᾽ ὅπερ αὐτῆς εἰ καὶ πραγματικὴν τὴν πίστωσιν ὁμοίως αὐχεῖ· ἐῶ γὰρ ὅτι καὶ μᾶλλον εἰπεῖν ἐκ τῶν τελουμένων ὁσημέραι, καὶ οἷς αὐτὸ διαρρήδην τοῖς δι᾽ οὓς καθ᾽ ἡμῶν ἐξετέθη τὸ δεκτὸν εἰς κοινωνίαν μαρτύρεται· ἀλλ᾽ οὖν καὶ πρὸς λόγους ἧκον ἡμῖν, πῶς οὐχὶ τῆς ὡς ἐῤῥέθη νυκτοχαροῦς καθαρῶς φανεῖται ζοφώσεως, ἐκ διαβολικῆς ὑποβολῆς ἀποτέλεσμα πρὸς τῷ κατὰ τῶν δίκην φωτὸς λαμψάντων ἐν θεολογίαις διδασκάλων τόσα νεανιεύεσθαι, καὶ τηλίκους ὕθλους περιέχειν βλασφημιῶν; ὃ δῆλον γενέσθαι τῆς ὅλης ὑποθέσεως δῆτα κεφάλαιον· ἔτι πῇ μὲν δόλους συῤῥάπτον, καὶ ὅλας ἐξαρτύον διαβολάς· πῇ δὲ καὶ αὐτοὺς ἐξ ὧν ἀνεπλάσθη, καὶ συνετέθη, ἀφειδῶς βάλλον, καὶ στεῤῥῶς παῖον, καὶ ἀμφοτέραις ὃ λέγεται πάνυ διαμαχόμενον· ὃ πρὸς τῷ σκοτώσεως ἀνομολογεῖσθαι, καὶ τῶν κομιδῇ μαινομένων ἐλέγχεται· οὐκοῦν καὶ τοῦθ᾽ ὧδε τῷ λόγῳ οἷα εἰκὸς προκαταστησάμενοι, πρὸς αὐτὸν ἤδη χωροῦμεν τὸν ἐν ᾧ διαμεμόρφωται κώδικα, οὑτωσὶ προοιμιαζόμενον.

cod. f. 87. a.

δ΄ „Ἔσχε μὲν ἡ ἐπισυμβᾶσα πρὸ μικροῦ ταραχή τε καὶ ζάλη τῇ ἐκ„ κλησίᾳ πατέρα οἷον καὶ ἀρχηγὸν αὐτὸν ἐκεῖνον τὸν ἀντικείμενον, φθόνῳ „ τῆς τῶν ἀνθρώπων σωτηρίας ἀεὶ βαλλόμενον· καὶ τὰ ταύτην ἀπείργοντα „ ζητεῖν τε καὶ πραγματεύεσθαι, οὐδέ ποτε ἀφιστάμενον· οὐ μὴν δὲ ἀλλὰ „ καὶ ἀνθρώπους ἔσχεν, εἰ καὶ μὴ ἀρχηγοὺς καὶ τὰ πρῶτα τῆς αἰτίας „ ἔχοντας, ὑπηρέτας δ᾽ οὖν ὅμως καὶ ὄργανα, τοσαῦτα ἐκ προαιρέσεως εἰς „ ταύτην τελέσαντας ὁπόσα δὴ κἀκεῖνος ἐβούλετο.„ Ἀλλὰ σκοπητέον ὅπως ἐξ

cod. f. 87. b.

αὐτῆς εἰσβολῆς τῶν οἰκείων λόγων ὁ προσφυὴς καὶ γνήσιος τούτων πατὴρ, μὴ ὑπερθέμενος, μηδὲ πρὸς βραχὺ, τό τε μανιῶδες αὐτοῦ τῆς γνώμης, καὶ ἐμβρόντητον ἐμφανίζει, καὶ τὸ σκολιὸν καὶ κακόηθες παρενείρει τρόπον ἕτερον παρευθύς· τίς γὰρ ἀγνοεῖ τῶν ἁπάντων, τὸ τῶν πρώτων αὐτὸν ὑποδρηστῆρα γενέσθαι, τῆς δι' ἣν ἐπισυμβῆναι φάσκει τὴν πρὸ μικροῦ ταραχὴν ὑποθέσεως; ὅμως οὕτω καθ' ἑαυτοῦ τὰ οἰκεῖα βέλη πρὸ τῶν ἄλλων ἐπαφιεὶς ῥᾳδιουργῆσαι, καὶ συγχέαι τόδε πειρᾶται καὶ παραδοῦναι θέλει παρὰ τὴν κίνησιν τῶν δογμάτων τὰ τῆς ζάλης ἀρχὴν λαβέσθαι· ἀμέλει τὴν αὐτῷ συγκροτηθεῖσαν ὑπερβαλλόντως οἰκονομίαν, δέον ὂν ἐντεῦθεν, καὶ ὡς ἂν οἰκεῖον σπούδασμα μὴ κατηγορῆσαι, εἰ μὴ μᾶλλον φαίη τις ἂν αἰνέσαι· ὁ δὲ καὶ ταύτην συκοφαντῶν περισύρει ἐς τοσοῦτον καὶ δι' ἐκείνων, ἐς ὅσον καὶ δι' ὧν δόξειεν ἂν ἀθωοῦν ἑαυτὸν ἐμφῆναι, καὶ μηδ' ἐπ' αὐτῇ τὸ παράπαν ἐνέχεσθαι· καὶ τί φησι μεθοδεύων ὡς οἴεται, καὶ τῶν προῤῥηθέντων ἐπιφέρων ἐχόμενα; "Εἰρήνη μὲν οὖν τὸ κατ' ἀρχὰς, καὶ οἰκονομία τίς ἀκίνδυνος, καὶ
„ ἐπὶ συμφέροντι δῆθεν τῷ ἡμετέρῳ οὐκ οὖσα τοιαύτη ταῖς ἀληθείαις, ἐπιφη-
„ μίζεται ὁ σκοπὸς εἶναι τῇ πράξει, καὶ προτείνεται τοῦτο καθάπερ τι δέ- cod. f. 88. a.
„ λεαρ ψυχὰς ἀνθρώπων ἕλκον πρὸς τὸ κρυπτόμενον· προτείνεται δὲ μεθ'
„ ὑποσχέσεων, καὶ ἀρῶν τῶν φρικωδεστάτων, καὶ λόγων ἐνόρκων, τοῦ μὴ
„ ἂν αὐτοῖς ἄλλό τι βούλεσθαι τὴν διάνοιαν, ἢ ὅπερ αὐτὰ ταῦτα μετὰ τοῦ
„ ἀζημίου, καὶ ἀκινδύνου, εἰτοῦν ἀναμαρτήτου, δηλοῖ· εἶτα βραχὺς ὁ μετὰ
„ ταῦτα χρόνος, καὶ ἀραὶ μὲν ἐκεῖναι καὶ ὅρκοι, ὥσπερ εἰ ἐπὶ παντὶ μᾶλ-
„ λον ἑτέρῳ, ἢ τῷδε συνέστησαν, ἀμελοῦνται· καταδύεται δὲ εἰς γῆν τὸ
„ τῆς εἰρήνης καὶ οἰκονομίας ὄνομα, καὶ τῆς τέως αὐτοῖς ἐκείνοις δοκούσης
„ κρείττονος πραγματείας· ἀνακύπτει δὲ τὰ τῆς κακουργίας ῥήματά τε καὶ
„ πράγματα. „

ε'. Ἄγε δὴ λοιπὸν, ὦ αἰθέριε καὶ ὑψίνου, μικρὸν τῆς ὑπερνεφοῦς κατιὼν μεγαληγορίας ἐρωμένῳ μοι ἀποκρίθητι, εἰ ἐκ τῶν τεθέντων τὸ δεφενδεύεσθαι πεπαῤῥησίασται· ἐφ' ἧπερ οἰκονομίᾳ μηδενὸς ἧττον, ὅτι μὴ καὶ μᾶλλον, τῶν τὰ πρῶτα συναραμένων ἠγώνισαι· ἵνα τί μὴ φανερῶς τὸ κατὰ σαυτὸν ἐπὶ ταύτῃ ταῖς ἐνσκευασθείσαις σοι μεθόδοις παρειληφὼς διὰ βραχέων ἐδεδηλώκεις, ὡς φανερὰν εἶχες ἂν ἔνθεν καὶ τὴν δεφένδευσιν; ἀλλὰ τοῦθ' οὕτω δρᾶσαι μὴ βουληθεὶς καταλλήλως ἔχον τῇ περινοίᾳ, φὴς ὡς οἰκονομία τις ἀκίνδυνος τὸ κατ' ἀρχὰς, καὶ ἐπὶ συμφέροντι δῆθεν ἐπιφημίζεται σκοπὸς εἶναι τῇ πράξει· καὶ ὡς μὲν αὕτη τοιαύτη ταῖς ἀληθείαις, καὶ πολλῷ πλέον θεοφιλὴς ὅσα, καὶ πατράσιν ὑποτιθεμένη τοῖς θεοπνεύστοις, ἱκανῶς ἐστι δεδειγμένον, ἐξ ὧν τὸ πολλοστὸν μέρος ἡμεῖς λόγων ἑτέρων πλατυκώτερον διειλήφαμεν, καὶ οὐ διαλαβεῖν κἀνταῦθα χρεών· σὺ δ' ὁ καὶ καθάπερ τι δέλεαρ προτείνεται τοῦτο καθεξῆς ἐπάγων, ψυχὰς ἀνθρώπων ἐφέλκον πρὸς τὸ κρυπτόμενον, τί διανοῇ καὶ τί βούλει τὸ ἐντεῦθεν παραστῆσαι περὶ σαυτοῦ; ἆρ' ὡς ἠπατημένος, καὶ μὴ εἰδὼς ὅπη περ ἂν προβαίη τὰ τῆς οἰκονομίας, cod. f. 88. b.

θερμὸν οἷον ἀνεδέξω ζῆλον συστῆσαι τὰ κατ' αὐτήν; καὶ πάντως ἔδει σε, καὶ οὕτω καλοῦ μὲν ἔργου δεδράχθαι ὁμολογεῖν, ἀποῤῥίπτειν δὲ τοῖς ἠπατηκόσιν ἐπευκταῖον κατὰ σὲ τὸ ὑπεύθυνον· εἰ δ' ὅτι μηδὲ τοῦτο σοι πρόσφορον τῷ καιρῷ περιτρέψαι τὸ πᾶν νομίζεις, κἀντεῦθεν ἕτερα γλωσσαλγῶν, ἐφ' ἑτέροις οἴει ἐγκρύπτεσθαι, κἀκεῖνο σοι τὸ πρὸς ταῦτα συμβάλλον ὡς παρὰ τὴν δευτέραν πρᾶξιν, ἡ σὴ προτέρα κακιστέα σοι καὶ ἀπόβλητος, καὶ οὐμενοῦν ὅλως ἐπαινετὴ, ὅτι περ ἐξ αὐτῆς ἐκείνη τὸ λάθρα παρεισαχθῆναι· καὶ παρίημι τὸ τὸν αὐτὸν λόγον καὶ αὖθις ἕπεσθαι φάναι κατὰ πᾶσαν ἀνάγκην· τί ἂν ἀντεπάξῃς, καὶ τί ἀπολογήσῃ, εἰ ἐκεῖνα σοι τίς προθείη, ἃ πρὸ μακροῦ συνειδέναι Λατίνοις βαττολογῶν ἀνεφάνης τῷ λόγῳ τοῦ δόγματος, παρ' αὐτοῖς ἅτε φοιτήσας, καὶ πλείστῳ μέρει λογικὰς ἐπιστήμας καὶ τέχνας ἀσκήσας, ἀτοπίαν ἅπασαν ὑπερβαίνοντα· ὧν ἴχνος μήτοι γε τῶν καθ' Ἰταλῶν τίς ἡμετέρων σφόδρῶς ἐξεννενεγμένων ἐνσημάνας εἴη γραφαῖς, ἀλλ' οὐδ' ἐννοήσας ὅτε· καὶ σοι κἀνταῦθα τούτων ἔμφασις κατωτέρω κειμένη, ἣν ὅ που γενόμενοι λέξομεν.

ϛ'. Εἰ γοῦν ταῦτά σοι τις προθείη, καὶ προσέτι ἅπερ νῦν οἴκοθεν ἀποθρασύνῃ φθεγγόμενος ἔκφυλον καὶ πέρα ἀσεβείας τὸ τοῖς τοιούτοις ἀποκαλῶν πρεσβευόμενον· καὶ τοῦ λοιποῦ πρᾴως οὕτω πυνθανόμενος εἴπῃ· καὶ πῶς ὦ βέλτιστε σὺ τοιαδὶ γινώσκων, καὶ οὑτωσὶ προκατειλημμένος ἐξ ὧν ἐπὶ πολὺ συγγενόμενος μάθοις, ὡς οὔ τις τῶν τῆς καθ' ἡμᾶς ἐθναρχίας πώποτε οὐδαμῶς, εἶτα καὶ δίχα τοῦ τὴν κρυπτομένην ὡς φὴς κακίαν ἀναφανῆναι, τὴν
cod. f. 89. a. δογματικὴν ἐξέτασιν δηλαδὴ, οὕτω θερμῶς, οὕτω διακαῶς, οὕτω ζήλῳ διαθέσεως ἀκρατεῖ αὐτὴν ἐκείνην ὁποίῳ δή τινι τρόπῳ τὴν ἀρχῆθεν κεκινημένην εἰρήνην ἀναδεχόμενος καθορῶ; καὶ δέον ἐξ ὧν εἴπέρ τις αὐτὸς εἰδείη καὶ τὴν συνήθη ταύτην τὸ παράλογον ἔχειν κρίνειν, κἀκείνην σπουδὴν ἔθου διαφερόντως συστήσασθαι· καὶ ἡ ὁρμή σοι, καὶ τὰ εἰωθότα σοι ἀκάθεκτα τῆς ὁρμῆς τοιαδὶ καὶ τότε, ὁποῖα καὶ νῦν, δίχα τοῦ μὴ τηνικαῦτα τηλικαύτην δυναστείαν σεαυτῷ δυνηθῆναι περιποιήσασθαι, δι' ἣν αἱ τοσαῦται τερατεῖαι, μήτε μὴν τῷ ἀσχέτῳ σοι τῆς φορᾶς ὕλην εὑρεθῆναι, ὡς ἐνταῦθα ἀνάλογον εἰς τὸ δρᾶν· καὶ οὐδὲ ἐκεῖνο σοι πάντως τὸ μετὰ τὴν τῶν περὶ θεοῦ ζητημάτων λογοπραγίαν, τῆς τότε κοινωνίας ἐκστῆναι· μενοῦν γε καὶ ἑτέρους εἰς αὐτὴν ἐκκλίνοντας συνωθεῖν· καί τινας ἐπ' ἐκκλησίας σοι φωραθέντας ἐκδειματοῦν ἀπειλαῖς, εἰ μὴ ταύτην ἀσπάζοιντο· μέχρις ἂν καιροῦ τῆς μεταβολῆς ἐπιστάντος, τὰ περὶ ὧν ὁ λόγος σοι δραματουργηθείη ἀνέδην οὕτω καὶ τολμηρῶς.

ζ'. Εἰ οὕτω σε μετ' ἐπιεικείας προθέμενος ἔροιτο, τί ἂν ἔχῃς ἐρεῖν; ἀπόκριναι ὁ σοφώτατος· καί τοι σοι καὶ αὐτῷ οἷς κακίζειν ἄρτι τὸ οἰκεῖον ἔργον ὑπερβαλλόντως ἐσπούδασται, τοὺς πολλοὺς ἔνθεν αἱρουμένῳ φρεναπατᾶν, τῳδὶ καὶ αὖθις τὸ ἀνέγκλητον ἐπιμαρτυρεῖν ἐπιφαίνεται, εἰρήνην διατρανοῦντι τὸ κατ' ἀρχὰς, καὶ οἰκονομίαν ἀκίνδυνον ἐπιφημισθῆναι, καὶ τὸ

δέλεαρ εἶναι, καὶ μὴ τοιαύτην παρὰ τὴν ἀνακόψασαν κρύβδην δογματικὴν
εἰσαγωγὴν ἐπιφέροντι· ὥστε ταύτης ἀπούσης ἐκείνῃ προσεῖναι βεβαιοῦταί σοι
τὸ ἀζήμιον, τό τε πρὸς τούτοις ἀναμάρτητον καὶ ἀκίνδυνον· καὶ πῶς ὦ λεπ-
τὲ τὸν ζῆλον καὶ τὴν εἰς τοῦτο ζέσιν ἀνείκαστε, ἢ μετὰ τῶν τοιούτων οὐκ cod. f. 89. b.
ἄλλως, ἢ ὡς αὐτὸς ἐβούλου εἰρήνη τὸ ὁπωσοῦν ἀκίνδυνον αὐχεῖ, καὶ ἀζή-
μιον· ὅμως σοι πρὸς σύναρσιν ἀῤῥαγὲς τὸ λέγειν λόγους προταθῆναι ἐνόρ-
κους, καὶ ἀρὰς μεθ᾽ ὑποσχέσεων τὰς φρικοδεστάτας, τοῦ μὴν ἂν ἄλλό τι
βούλεσθαι προβῆναι, ἢ αὐτὴν δὴ τὴν οἰκονομίαν, ὡς προδιείληπται· καὶ μὴν
ὦ γαθὲ σύ, καὶ οὐκ ἄλλος ὁ ὑποσχέσεις τάςδε καὶ ὅρκους συντεθεικώς,
σὺ ὁ τὸν ἐν ᾧ ταῦτα χρυσοβούλιον λόγον λογογραφήσας τοῦ τρισευκλεοῦς
ὡς προσώπου καὶ ἀοιδίμου ἐν βασιλεῦσιν· ὃν σὺ βαβαί σοι τῆς τόλμης, ἀνε-
ρυθριάστως οὕτω καταδικάσας, κρείττονος ἤπερ ἔμελλε δίχα τοῦδε παρὰ θεῷ
στάσεως κατηξίωσας· σὺ ὁ θερμὸς τῶνδ᾽ ὑπηρέτης, καὶ δι᾽ ἑτέρους, οὐμε-
νουν διὰ σέ· εἴ γε σοὶ μὲν καταδήλως ταυτησὶ τῆς πραγματείας ἐναρξαμένης
μή τοι γε διστάσαι, ἢ ἀντιβῆναι, ἀλλ᾽ ἐξ αὐτῆς ἣν ὑπερηγορεῖν καὶ ἀντέ-
χεσθαι· ταδὶ δὲ δι᾽ ἐκείνους, καὶ μετά τι χρόνου διάστημα, οἷς ὑπῆρχεν
ἀποδιΐστασθαι· σὺ δ᾽ ὁ τούτων οἰκονόμος, καὶ αὐτουργός, εἰ καὶ καλύπτειν σοι
πειρωμένῳ οὐκ ἔνεστιν, ὥσπερ δῆτα κἀπὶ λοιποῖς ἑτέροις, καὶ δὴ καὶ ταῖς πρὸς
τὴν ῥωμαϊκὴν ἐκκλησίαν πρὸ τῶν ἄλλων σταλείσαις ἐπιστολαῖς, σοὶ πονηθεί-
σαις ἐπὶ παραστάσει τελείᾳ τοῦ πράγματος· εἰ δέ σοι κατὰ τὸ πάντη πλεονά-
ζον κἀκεῖνο δὴ προσεξετασθείη, ὡς ἐν αὐτῇ σοι τῇ πρὸς τὸ οἰκεῖον πρακτέον
σπουδῇ, τοῦ τὴν ἀξίαν καὶ πλέον δὴ τὴν σοφίαν μεγίστου λογοθέτου τοῦ
Ἀκροπολίτου ἐκείνου, βραχεάττα επρὶ τῆς τοῦ παναγίου πνεύματος ἐκπορεύ-
σεως γραφαῖς ἰδίαις ἐπὶ τοῦ μέσου διαλαμβάνοντος, καὶ ταῖς ὀρθαῖς δεικνῦν-
τος συμβαίνειν ἐννοίαις τὸ παρὰ Ῥωμαίοις ἐπ᾽ αὐτῇ πρεσβευόμενον ἀντιποιού- cod. f. 90. a.
μενος τῶν οὕτω τρανουμένων καθίστασο, καὶ τοῖς ὁπωσοῦν ἐναντιουμένοις
δεινὸν πνέων, καὶ ὡς οὐδεὶς τῶν παρατυχόντων ἀντιμαχόμενος, τίνα σοι τὰ
δελέατα, τίνα τὰ λεγόμενά σοι κρυπτόμενα ὄνησιν ἐμπαρέξουσι;

η᾽. Πλὴν φάσκεις ‘‘ὡς παρὰ ταῦτα ἀρχὴν ἡ ταραχὴ λαμβάνει καὶ ὁ μέ-
„ γας τῆς ἐκκλησίας ἀναῤῥιπίζεται πόλεμος.„ Καί τί σοι τὸ ἐκ τῶνδε προϋ-
ποκεκρουσμένων δηλούμενον; εἰ μὲν γὰρ ἄρξασθαι τὰ τῆς ζάλης ἐκ τῆς τῶν
πατρικῶν δογμάτων γεγονυίας θεωρίας καὶ συζητήσεως, ἣν σὺ κεκρυμμένην
μελέτην, καὶ ἃ σὺ ῥήματα κακουργίας ἀναισχύντως ἀποκαλεῖς· ὡς μὴ ἂν πρό-
τερον μηδαμῶς οἵας δή τινος ταραχῆς ἀκολουθησάσης παρὰ τήν σοι κατεπειχ-
θεῖσαν οἰκονομίαν λέγεις, καὶ διατείνῃ· τοῦτο γὰρ κατὰ τὸ πρόχειρον ὁ λό-
γος σοι παριστᾷ, τῆς συνήθους σοι ταῦτα ψευδηγορίας καὶ ἀπερικαλύπτου
σκαιότητος· οὐ γάρ τις τῶν ἁπάντων ἐστὶ μὴ εἰδώς, ὡς ἐκεῖθεν ἅμα τῇ κι-
νήσει τὰ τοῦ θορύβου συμβέβηκεν· εἰ δέ γ᾽ ἐκεῖ τό, ἡ ταραχή σοι ἀναφερόμε-
νον, ὡς αὐτόθεν ἀναφανεῖσα τὸ κατ᾽ ἀρχάς, μετέπειτα πάλιν ἑτέραν ἀρχὴν ἐκ
τῆς δηλωθείσης συζητήσεως εἰληφέναι, καὶ τὸν μέγαν ἐντεῦθεν ἐπισυστῆναι

πόλεμον εἴρηται, ὅ σοι δέχομαι δῆτα, καὶ οὐδὲ τῇ συγκρίσει σου διαφέρομαι, τὸ μέγεθος ἐνταυθοῖ ἀπονέμοντος, εἰ καὶ οὕτως αὖ ἐκεῖσε τὰ τῆς προηγησαμένης ἀρχῆς, ἐπεὶ ταῦθ᾽ ὅπως, καὶ δι᾽ ἃς αἰτίας ὁ μνημονευθεὶς πρότερός μοι τῶν λόγων, φθάνει διηρθρωκώς· ὅρα ὡς κἂν εἰ μυρία πεπονηκὼς εὑρεσιλογήσῃς, οὐχ ἕξεις ὅλως ἐξαλύξαι, τὸ μὴ οὐχὶ γραφαῖς οἰκείαις ἐξ
cod. f. 90. b. αὐτῶν ἄρα προοιμίων ἀρχηγὸν ἐπὶ τῇ ὑποθέσει σχεῖν σε τὸν ἀντικείμενον ὡμολογηκέναι, καὶ ὄργανον αὐτοῦ γεγονέναι, εἴπερ ἡ προβᾶσα ταραχή τε καὶ ζάλη, ὡς εὐθὺς σοι προανατέτακται, καὶ τῆς σῆς ἐργασίας εἶναι βεβαίωται.

θ΄. Τὸ δ᾽ ἡμέτερον οὐχ ὅπως, οἷς ἐνταῦθα θεοφιλοῦς ἀντιλαβέσθαι πραγματείας μαρτύρεται, τὰς τοιαύτας σοι τῶν κατηγοριῶν ἀφ᾽ ἡμῶν ἀποκρούεται ὁμολογίαις ἐνάργεσιν ἐχούσας οὕτω τὸ ἐπί σοι· ἀλλ᾽ ὅτι κἂν τοῖς ἑξῆς αἱρεσιαρχοῦντα σε παραστῆσαν δόγμασι θεοφθόγγοις τοῖς τῶν πατέρων, σχοίη ἂν ἀριδήλως καὶ λοιπὴν πᾶσαν ὕβριν, καὶ δυσφημίαν ἀντεστραμμένην σοι, ψευδῶς μὲν ἐξενηνεγμένην, ἀντεπενηνεγμένην δὲ ἀψευδῶς, παρά γε ἀληθείᾳ, καὶ τοῖς ὅσοι ταύτης εὑρεθεῖεν εἶναι μὴ δοκεῖν ζηλωταί· τέως γε μὴν ἀρτίως ἐπελθόντες πρὸς τὸ μικρὸν ἔτι διασαφῆσαι τὰς κεκηρυγμένας σοι ἐνόρκους ἀράς, ὁποῖα καὶ αὐτά σοι τὰ τῆς κακουργίας πεφημισμένα δὴ ῥήματα, πρὸς τὸ ἑξῆς σοι μετὰ ταῦτα βαδιοῦμεν τῆς ἐγχειρήσεως· ὅτι μὲν οὖν ἀραὶ καὶ ἔνορκοι οὗτοι λόγοι οὐκ ἐξ ἡμῶν, πρὸς δέ γε του περιφανοῦς ἐκείνου κατάρχου καὶ σοῦ συνετέθησαν, τοῦ μὲν κυριαρχοῦντος καὶ ἐπιταττομένου, καθυπηρετουμένου δέ σου καὶ συμπράττοντος, ἀληθὴς ἄρα λόγος καὶ λελεγμένος ἀγχοῦ· ὅτι δὲ τότε μὲν οὕτω συνδιατιθεμένῳ καὶ συνεισφέροντι, νυνὶ καὶ τοῦ πρὸς τοῖς ἄλλοις ὕλη σοι κατηγορίας ἀνέδην κατὰ τοῦ κειμένου γεγένηται, ὁ ἐκ τῶν πραγμάτων ἔλεγχος κἀνταῦθα ἀρκέσει σοι πρὸς ἀντικατάστασιν· εἴπερ αὐτὰ ταῦτα βοᾷ διαπρύσιον, τὸ μή τι τῶν ἐν ἡμῖν ἐθίμων ἀλλοιωθῆναι, ἢ ὅλως παραβαθῆναι· ὁ δέ γε σχεδιασθείς σοι χρυσοβούλλιος λόγος τούτων κυθυπισχνεῖτο μετ᾽ ἀρῶν ὧν φάσκεις συντήρησιν· μάτην δέ σοι καὶ τὸ τοὺς δογματικοὺς λόγους ἐπὶ συγκροτήσει δῆθεν ταυτησὶ τῆς κατηγορίας λαμβάνειν, ὅτι μὴ παράδοσις ἐντεῦθεν· ἀνάπτυξις μὲν οὖν προβέβη-
cod. f. 91. a. κε καὶ φανέρωσις, ὅπως ἐκ τῶν δίκην μαρμαρυγῆς ἡλιακῆς ἀκτινοβολούντων πατρικῶν θεσπισμάτων, καὶ διδαγμάτων ἡ τῆς προαχθείσης εἰρήνης πρᾶξις τοῖς βεβουλημένοις αὐχεῖ τὴν οἰκείαν κραταίωσιν.

ι΄. Κἂν σὺ μὴ τὰ καθ᾽ ἡμῶν ἀποχρώντως ἔχειν τόσα καὶ τηλίκα τῆς σῆς τυραννίδος καὶ δυναστείας ἡγούμενος, ἧς σὺ παρὰ τὸ τυχεῖν αἱ τοσαῦται ῥᾳδιουργίαι, καὶ τὸ ἐπὶ ἀσυμβάτοις οὕτω δραμεῖν, καὶ ἀτεχνῶς ματαιώδεσι, καὶ ψευδηγορῶν ἄλλα ἐπ᾽ ἄλλοις, καὶ συκοφαντῶν οὐκ ἀφίστασαι· οἷα γὰρ καὶ αὐτά, ἐπεὶ καὶ τάδ᾽ ἀθρῆσαι καιρὸς ἐξ ὧν αἱ ἀθετήσεις τῶν συνθηκῶν, καὶ ἡ τῶν κακουργηθέντων ῥημάτων ἐκκάλυψις διαρρήδην σοι διαγγέλλεται· "Τολμᾷ τις ἐν ἡμῖν λέγειν, ὅτι καὶ ἐκ τοῦ υἱοῦ

„ τὸ πνεῦμα ἐκπορεύεται ὥσπερ καὶ ἐκ τοῦ πατρὸς, ὅτι καὶ ὁ μονογενὴς „ αἴτιος αὐτοῦ, καθὰ δὴ καὶ ὁ τὸν μονογενῆ γεννήσας πατήρ„; Ὦ ἀληθείας φίλε, ὦ ὑπερήγορε κραταιέ· εἰ ἐν οἷς ἐν αὐτῇ σοι τῇ τῶν λόγων εἰσόδῳ ἀναγκαίως ὑπήχθης, ἐξ ὧν ἀρχαὶ τῇ ὑποθέσει προοιμιάσασθαι, οὐχ ὅπως ἔσχε τὸ ἐκ τῶνδε αὐταῖς σοι ταῖς συντετμημένως οἰκονομηθείσαις μεθόδοις, δεῖν ᾠήθης διατρανώσασθαι, ὅτι μὴ τοῦτο καταλλήλως ἦν σοι τοῖς ἐνεστῶσι καιροῖς· ἔδει γε κἂν ἐνταῦθα οἷς σοι τὸ θαῤῥεῖν μέγα, οἷς μὴ ἀντιπράττων καιρὸς, οἷς λαοὶ καὶ πλήθη συνεφαπτόμενοι, καὶ συντρέχοντα πράγματα, οἷς πᾶσα ἡ ἐκ τούτων, καὶ τῶν τοιούτων ἰσχὺς, ἢ ὡς ἔχει λεχθὲν τὰ τοῦ τινὸς, ὃν λέγεις θεῖναι καὶ διελέγξαι, ὃ τοῦ ὀρθῶς καὶ ἀδολιεύτως ἀντιπίπτοντος γνώρισμα, ἢ ὁ πολὺ τούτου καθυστεροῦν, ἔτι γε καὶ δίχα δεκτὸν, ὅτι σοι συναγόμενον θέμενον τοῦτο φᾶναι, καὶ τοῦ λοιποῦ τὸ δοκοῦν διαπράξασθαι· νῦν δὲ κἂν τοῖς οὕτω σοι τεθεωρημένοις, οὐχ ἧττον τὰ εἰωθότα ποιῶν, πῶς παρὰ τοῖς ἀπροσπαθῶς εἰδόσι λόγους κρίνειν ὀρθότητος, οὐχ ὅπερ ἧς ὀφθῆς ἀναπόδραστα; ποῦ καὶ τισίν ἐν λόγοις ὁ καὶ ἐκ τοῦ υἱοῦ, ὥσπερ ἀμέλει καὶ ἐκ τοῦ πατρὸς, ὁ τὸν μονογενῆ λέγων, καθὰ δὴ καὶ τὸν γεγεννηκότα πατέρα τοῦ πνεύματος αἴτιον; cod. f. 91. b.

ια΄. Πάντως ἂν τοῦτο δείξας καὶ ὁ λόγος τὸν τετυραννημένον σοι πατριάρχην αἰνίττεται, συναποφαινόμενον ἕξεις, καὶ τὸ πρῶτον καὶ ἀρχικὸν αἴτιον, τὸ γεγεννημένον ἀποκαλεῖν, ἔτι γε μὴν καὶ πατέρα κατὰ τὸ ἀκόλουθον ἀνομολογεῖν, καὶ ἄλλ' ὁπόσα τοιαῦτα, ὧν ἡ ἀτοπία τρέποιτο κατὰ κεφαλῆς τοῦ μὴ ὡς εἰρημένα εἴη τὰ λελεγμένα προφέρειν καὶ γράφειν σπουδάζοντος· πλὴν ἀλλ' ἐπειδή σοι δεῆσαν πρὸς τῆς τῶν κεφαλαίων κατωτέρω συνθέσεως λόγους ἐν δόγμασιν ἐν βραχεῖ παραδοῦναι, οἷς αὐτοὶ ἐνησμενικότες λίαν καλῶς τὴν τῶν ἐκκλησιῶν ἔχειν εἰρήνην διέγνωμεν, τοῖς ἐξ ἔθους στοιχοῦν τι δολίως οὕτω, καὶ μὴ πρὸς εὐθύτητα συνετέθησαν, φέρε καθόσον οἷόν τε τούτους ἡμεῖς συνελόντες ἐκθήσομεν· ἡμῖν ἵνα τ' ἄλλα παρήσω δόγμα θεῖον εἶναι καὶ πατρικὸν, ἐκπορεύεσθαι δι' υἱοῦ τὸ πνεῦμα κατιδεῖν ἐξεγένετο, ἄλλοις τε τῶν ἐπὶ θεολογίᾳ περυπίστων διδασκάλων παραδοθὲν, καὶ δὴ καὶ Ταρασίῳ τῷ οὐρανόφρονι γράμμασιν οἷς αὐτῷ πονηθεῖσι σύνοδος οἰκουμενικὴ πᾶσα συνεψηφίσατο, καὶ καλῶς δοκιμάσασα συνεφώνησε, καὶ οἱ πρὸς οὓς τῆς ἀνατολικῆς διοικήσεως πάντες συνήνεσαν· τοῦθ' ἡμῖν ὡς οὕτως ἔχον στερχθὲν εἰρηνικῶς διακεῖσθαι, καὶ μὴ μαχίμως πρὸς τοὺς ἐξ ἀμφοῖν ἐκπορεύεσθαι λέγοντας δεῖν ἐνομίσθη πολλοῖς τε λόγοις ἐπὶ τούτῳ, καὶ παραινέσεσι πατρικαῖς, καὶ ὅτι θεολογίας ἀκραιφνοῦς, καὶ παραδόσεως διδασκαλικῆς τὸ ἐξ υἱοῦ εἰς τὸ δι' υἱοῦ ἥκειν καὶ συμφωνεῖν· καὶ τὴν ΕΚ ἐπ' αὐτοῦ ἀντὶ τῆς ΔΙΑ ἐκλαμβάνεσθαι, πρὸς ἔτι γε μὴν τὸ προβολεὺς διὰ λόγου τοῦ ἐκφαντορικοῦ πνεύματος, κατῖσον τῷ προῤῥηθέντι τρανώτατα ἐγνωκότας τὴν προβολεὺς φωνὴν, ὡς ὁ τῶν θεηγόρων ὅμιλος ἅπας καὶ ἡ ἀληθὴς ἐξ ἐκείνων δόξα τῆς ἐκκλησίας εἰληφέναι φαίνεται καθαρῶς. cod. f. 92. a.

ιβ΄. Οὕτω καὶ οὐχ ἑτέρως ἡμεῖς εἰληφότες ἐσμὲν καὶ κηρύττοντες εἰς δή-
λωσιν αἰτίας ἐναργεστάτην, αἷς ἀμφοτέραις χρήσεσι τῶν τῆς εὐσεβείας προ-
βόλων τῷ φωτοφανεῖ τῆς ἐννοίαις συντρεχούσαις εἰλικρινῶς, αἴτιον διὰ τοῦ
υἱοῦ τὸν πατέρα τυγχάνειν τοῦ πνεύματος ἀπαστράπτεται· κἀκεῖνα συνᾴδοντα
ὡς ἐπίπαν, εἰ μὴ καὶ μᾶλλον διὰ τοὺς ἐπικενῆς ἐπηρεαστὰς φαίη τις ἂν τὸ
καταφανέστερον κεκτημένα, οἷς ὁ τῶν Νυσσαέων μέγας λαμπτὴρ τὴν κατὰ τὸ
αἴτιον καὶ αἰτιατὸν διαφορὰν παριστάνων ἐξ αἰτίας διὰ τοῦ υἱοῦ τὸ πνεῦμα
θεολογικῶς παραδίδωσι· τοῦθ᾽ ἡμῖν, ὦ τοῖς παροῦσιν οἱ ἐντυγχάνοντες, καὶ
εἴη τε ἀρρεπῶς· Τοῦτο γὰρ τὸ εὔκταιον, οὐχ ἕτερον, ὅσα καὶ σωτήρων φωναὶ
πρεσβευόμενα, διαρθρώσεως ἀμυδρᾶς χάριν προδιελήφθη· οἷς ὁ ἀνανταγώ-
νιστος οὗτος εἰς ἀνάγκην ἐλθὼν ἐπιτόμως περὶ τούτων ἐρεῖν, λόγοις καται-
τιάσεως περιέργως οὕτω, καὶ οὐ πρὸς ἀλήθειαν εἴρηκεν· ἐπεί τοι γε τὰ περὶ
αὐτῶν ἐντελέστερον ὅσον οὔπω προκείσεται· ἡνίκα μὲν αὐτὸς παρακατιὼν ἀναι-
ρεῖν ἀποθρασυνθείη, καὶ ἀνασκευάζειν μανιωδῶς, ἅ τε καὶ τοῖς θεοφόροις
cod. f. 92. b. ἀντικαταστῆναι προῃρημένος· ἡμῖν δ᾽ ἡ πρὸς ταῦτα μελήσει τῶν ἐλέγχων ἀν-
τιπαράθεσις· νῦν δὲ πρὸς τὰ διὰ μέσου χωροῦντες, εἴ τι που λογικῆς ἐπικρι-
θείη συζητήσεως θεωρήσομεν.

ιγ΄. Ἀμέλει τοῖς κατοπτευθεῖσιν ἐπιφέρων ὁ Γεννάδας ἐγγὺς φάσκει περὶ
οὗ ὡς ἠβουλήθη προδιήγγειλε δόγματος· „Ὡς οὐ πρόσφατον τὴν γένεσιν ὃν
„ καὶ παρ᾽ ἄλλοις ταύτην ἐσχηκὸς οὐχ ἡμῖν μετενήνεκται δεῦρο, οἷά τις ὑπε-
„ ρόριος λύμη, καὶ ὑποδοχεὺς, αὐτῷ καὶ οἷον ἄρουρά τις ἐκθρέψαι οὐκ ἀφυὴς
„ ἐγεγόνει ὁ δεῖνα, τὸν τὴν πατριαρχικὴν ἀξίαν θεόθεν λαχόντα δηλῶν· ἀρ-
„ δόμενος ὡς μὲν αὐτός ἐστι λέγων, ὁ ταῦτα συνείρων ἐκ τοῦ πονηροῦ καὶ
„ τῶν τῆς ἀνομίας χειμάῤῥων· ὡς δ᾽ ὁ τοῦ θεοῦ ἱεράρχης φθεγγόμενος ἢ
„ ἐκ τῶν βίβλων τῶν ἱερῶν· καὶ ἑξῆς κακούργως ἀνελίττων αὐτὰς, καὶ σπερ-
„ μολογῶν ἐπάγων, καὶ τὸν νοῦν ἅμα μὲν τῆς γραφῆς κλέπτων, ἅμα δὲ
„ καὶ τῶν ἐπιπολαίως ἀκρωμένων, ἢ καὶ πρὸς τοὺς αὐτοῦ χρυσοῦς ἀφορῶν-
„ των „ Καὶ ὡς μὲν χειμάῤῥους ἀνομίας τὸ τῆς ἀνομίας ἀληθῶς ἀποκύημα
τὰς θεοκροτήτους εἰσηγήσεις τῶν πατέρων ἀποκαλεῖ, πάρεστιν οἷς μὴ σκαρ-
δαμύττειν πρὸς τὰς θεολογικὰς βολὰς ἐνοπτρίζεσθαι· ὅτι δὲ σπερμολογίας,
καὶ ἱεροσυλίας, καὶ κλοπιμαίων νοημάτων παρεμπλοκὰς τὰς ἐκ τῶνδε μαρ-
τυρίας ἀγορεύων οὐχ ὑποστέλλεται· ἐχρῆν ἄρα βίβλων ὅλων προκειμένων αἷς
τῷ πατριάρχῃ ἡ ἐκ τῶν ἱερῶν λογίων συγκρότησις, βίβλους λόγῳ καὶ σοφίᾳ
σεμνυνόμενον ἀντιπαραθεῖναι, καὶ πρὸς ἔπος ἔπη συμμίξαι καταστρωννύντα
κατ᾽ ἀμφότερον ὁλικῶς· ὡς αὐτός ἐστιν εὖ ποιῶν ὁ καθ᾽ οὗ τούτῳ τὰ τῆς
μανίας, καὶ προσέτι διεξοδικώτερον μᾶλλον τὰ τῶν θειηγόρων ἐγκαταλέξαι,
cod. f. 93. a. ὡς ἐντεῦθεν ὑπ᾽ ὄψιν ἔχειν δεικνύναι, πῇ μὲν τὸ ἀπ᾽ ἄλλων ἄλλα τῷ ἀντι-
δίκῳ συνάγεσθαι· μηδαμῶς τοῖς ἐξ ὧν παρήχθη πρὸς τὸ δοκοῦν· ἢ ἐφ᾽ ἃ
μετηνέχθη, ἢ πρὸς ἄλληλά πως τὸ συνηρτημένον ἔχοντα καὶ κατάλληλον·
ὃ πᾶσιν οἶμαι τοῦ σπερμολογεῖν ἐναργὲς ἀνομολογεῖσθαι τεκμήριον· πῇ δὲ

φθοριμαίους διανοίας ἐπισκευάζεσθαι· πῇ δὲ καὶ ἄλλ' ὁπόσα καθορᾶται κενοφωνῶν, ὡς δεδήλωται.

ιδ'. Ἀλλὰ τὸ τοιουτοτρόπως μετιέναι μὴ καθάπαξ βεβεβουλημένος· εἶτα καὶ ὧν ὡς ἡμετέρων τῇ σφετέρᾳ παρειληφὼς ὦπται τομογραφίᾳ· ἔστι μὲν ἃ παραπεποιημένως προφέρων, καὶ συκοφάντιδος εἶναι γλώττης τῆς αὐτοῦ παριστάνειν μὴ δεδιώς, ὡς πολλαχῶς ἐστιν εἰρημένον, πῶς οὐκ ἐπὶ παντὶ παρ' οἷς ἀπαθῶς τὸ θεᾶσθαι τὸ ἀψευδές; δῆλος ὅπερ ἐστὶ τοῦ ψεύδους γνωρισθείη προήγορος· οἷον δὲ καὶ τοῦτο ταῖς αὐτοῦ σκευωρίαις μὴ ἀπεμφαῖνον, τοῖς χρυσοῖς πείθειν τοὺς ἀκροωμένους τῷ μεγάλῳ προσεπιτρίβειν· ὃ γὰρ αὐτόχρημα γυνή τις τῶν ἑταιριζομένων δρᾷν εἰώθει πρὸς σώφρονα· φθάνει γὰρ αὕτη τὰ οἰκεῖα αἴσχη τῇ ἐκτὸς αἴσχους ἐν ταῖς κατ' αὐτῆς· ὡς ἀντικειμένης ἀντιλογίαις ἀπηναιδευμένως μεταπορθμεύουσα, τοῦτο καὶ αὐτὸς ποιῶν οὐκ ἀπαξιοῖ, τὰ οἰκεῖα πρὸς ὃν ἡ ἀντιδικία μεταβιβάζων, καὶ μὴ δ' ὅτι καταφανὲς μὲν αὐτῷ καὶ οἱονεί πως τρανώσει παγκόσμιον, τὸ χρυσοὺς καὶ ἀργύρους, ὡς ἀπὸ πηγῶν ἄλλων τῶν βασιλικῶν κενωθῆναι θησαυρισμάτων, πρὸς τὸ πλήθη καὶ λαοὺς, τῆς αὐτοῦ κοινωνίας ἀφισταμένους ὑποποιήσασθαι· ἐπειδὴ ταῦτα οἱ τὰ ἰσχυρὰ, ὡς καὶ τὸ μή τινος μηδοποσοῦν ἱερατικοῦ προσώπου παρουσίᾳ καὶ συναινέσει, ἀλλ' ὡς ἐπίπαν ἑταιρίας τῆς cod. f. 93. b. ἐν ἀνακτόροις τελεταρχίας, τῆς ἧς ἐστὶν ἐπειλημμένος ἀρχῆς δεδράχθαι, λογιζόμενος ὅλως ὑπὸ μανίας μή τε μὴν ὡς αὐτῷ μὲν καὶ οἱ λαμβάνοντες μάρτυρες ὁσημέραι, δωρουμένῳ πλουσίως ἅμα τῷ εἰληφέναι ταῖς ὕβρεσιν ἀντεπιφυόμενοι· ὅσα καὶ αὖθις ἀποτροπαίῳ τοῦ τῶν Μονεμβασιωτῶν οὗτοι στίφους καὶ μοναχῶν· τῷ δέ γε κατὰ θεσμοὺς ἱεροὺς ἀρχιθύτῃ τοιοῦτον οὐδὲν τὸ παράπαν, μή τ' οὐδένα τῶν ἁπάντων οὔμενουν εἶναι, ὃς ἂν ἐπὶ τοῖς πρὸς αὐτὸν ἤκουσιν, ὡς οὕτως κράζει διακενῆς συνειδέναι δόσεις διϊσχυρίσαιτο· ἐπάγει μέν τοι μετὰ ψεύδους τὰ ἐξ ἔθους τοῦ πατριάρχου κατακενῶν· "ὡς παρ' ὅλον τὸν πρὸ „ τοῦ κράτος κατ' αὐτοῦ λαβέσθαι τὰ σκαιωρούμενα ἐπὶ τοῦ οἰκείου θρόνου „ καθεστῶτα τούτῳ καιρὸν ἀθλίως ἔχειν ὑπῆρχε τῇ ἐκκλησίᾳ καὶ καρτερεῖν τὰ „ δεινότατα· τὸ δὲ μετὰ ταῦτα παρακαλεῖται θεὸς ἐφ' ἡμῖν καὶ ἵλεων ἐνορᾷ·„ ἑαυτὸν ἐντεῦθεν τοῖς μὴ κοινωνεῖν τηνικαῦθ' αἱρουμένοις, ὡς ὅτι τοῦτο κοινῇ καὶ καθάπαξ ἀναμφισβήτητον πᾶσι συντάττων· καὶ πεπονθότα παρεμφαίνειν προσμηχανώμενος, ὃ καὶ αὐτὸ τῆς ἀνυπερβλήτου τούτου ἀναιδείας οὐκ ἀποδέον, ἑτέροις κατωτέρω τισὶν ἀτεχνῶς ὡς συντρέχων συνδιασκεφθὲν τρανωθήσεται· τό γε ἀρτίως ἐπειγομένου τοῦ λόγου πρὸς ἃ διὰ μέσου λέγων ὁρᾶται, τῶν διειλημμένων ἐχόμενα, πίστεως ἔκθεσιν ὑπογράφων, μεθ' ἣν τὴν προβᾶσαν οἰκονομίαν ὑπερβεβλημένως κακίζων· εἶτα περὶ οὗ τὸ πᾶν αὐτῷ τοῦ ἀγῶνος διαγορεύων δόγματος καθαρώτερον.

ιε'. Ἀλλ' ὅσα μὲν πρὸ τοῦδε λόγοις ὁμολογίας διαγγέλλων ὑπάρχει περὶ θεοῦ, χρεὼν οὐ πάντως ὡδί πως ἐγκαταθεῖναι, εἴπερ ἀνάγκη τοῦτο παρεῖναι, οἷς λόγοι διαμάχης οὐ συναινέσεως· περιττὸν δὲ καὶ ὁποῖα μὴ ἐρυ-

θριῶν ἐπὶ τῇ οἰκονομίᾳ κομπάζει, ἱκανῶς ἀπεληλεγμένων τῶν ἐπ' αὐτῇ· τά
cod. f. 94. a. γε μὴν μετὰ ταῦτα καὶ λίαν εἰκότως, ἃ καὶ οὕτως ἔχουσιν ἐπὶ λέξεως.
" Ἀθετοῦμεν τὰς ἐπικινδύνους περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως „ λαληθείσας αὐτοῖς φωνάς· τὸ γὰρ πανάγιον πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπο„ρεύεσθαι παρὰ τοῦ θεοῦ καὶ λόγου μαθόντες ἐκ τοῦ πατρὸς καὶ τὴν ὕπαρ„ξιν ἔχειν ὁμολογοῦμεν, καὶ αὐτὸν τοῦ εἶναι οὐσιωδῶς αὐχεῖν αἴτιον, „ ὥσπερ δῆτα καὶ αὐτὸς ὁ υἱός· τὸν δὲ υἱὸν ἐκ πατρὸς μὲν οἴδαμεν καὶ πι„στεύομεν, καὶ αἴτιον αὐτοῦ καὶ ἀρχὴν φυσικὴν τὸν πατέρα πλουτεῖν· ὁμο„ούσιον δὲ καὶ συμφυὲς τὸ ἐκ πατρὸς ἔχειν πνεῦμα, οὐ μὴν δὲ καὶ αἴτιον „ αὐτὸν τοῦ πνεύματος ὑπάρχειν, ἢ μόνον, ἢ μετὰ τοῦ πατρός· ὅτι μηδὲ ὕπαρ„ξις τῷ παναγίῳ πνεύματι διὰ τοῦ υἱοῦ καὶ ἐκ τοῦ υἱοῦ.„ Πρόσχες πρὸς θεοῦ, ὁ ἀκροατής· ἀθετοῦμεν τὰς ἐπικινδύνους εἰπὼν περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως λαληθείσας αὐτοῖς φωνάς· καὶ παραυτὰ κατασκευάζειν ἐπιχειρήσας, τάς τ' ἀκινδύνους εὐθέως προδιομολογήσας, ὡς ἐκ τῶνδε τὰς ἐπικινδύνους ἐπισημηνάμενον διαστείλασθαι· εἰ τοῦτο τετηρηκώς, ἢ τοῦτο φάμενος εἴη, εἰ τῆς ἐκπορεύσεως ὅλως ἐπὶ τοῦ υἱοῦ μεμνημένος, ὡς αὐτοί φάμεν διατόρως, δι' υἱοῦ ταύτην ὁμολογοῦντες, ἀποδεδωκὼς τὰς εἰς κίνδυνον ἐπ' αὐτῇ φερούσας φωνὰς φανείη· τοῦτο ἐπειδήπερ ἐνταυθοῖ τὸ σπουδαῖον· εἰ γὰρ τὴν ἐκπόρευσιν εἰς τὴν ὕπαρξιν οἶδε μόνος λαμβάνειν, καὶ φωνὰς ἐπικινδύνους ἔνθεν διαγινώσκει, τὰς δι' υἱοῦ λεγούσας τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι· καὶ τοῦ λοιποῦ ἦν ἡ ἀκολουθία τοῦ λόγου κατὰ πᾶσαν ἀνάγκην, ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι τὸ πανάγιον πνεῦμα μαθόντες, τρανῶς διηγορευκότι ἐκ τοῦ πατρὸς καὶ τὴν ὕπαρξιν ἔχειν ὁμολογοῦμεν, ἐπισυνθεῖναι· δι' υἱοῦ δ' ἐκπορεύεσθαι μὴ μαθόντες, οὔτε λέγειν ὁμολογοῦμεν· ὅτι μηδὲ ὕπαρξις τῷ παναγίῳ πνεύματι δι' υἱοῦ· οὕτω γὰρ καὶ τοῦτο ἑπόμενον ὂν
cod. f. 94. b. τὴν ἀπαιτουμένην ἁρμονίαν πλουτεῖ καὶ συνάφειαν· ἢ μὴ ἂν εἰς ἑνοειδῆ σημασίαν τὰ τῆς ἐκπορεύσεως εἰλημμένῳ, ἀλλ' εἰς διάφορον.

ιϛ'. Κἀντεῦθεν εἴ τις τὴν διεγγελμένην ὡς ἁπλῶς ὁμολογουμένην, καὶ μὴ παρὰ ταύτην ἑτέραν ἐφαρμόττει τῷ δι' υἱοῦ ἐκπορεύεσθαι, φωνὰς ἐπὶ λύμῃ φάσκειν ἐκπορεύσεως διενισταμένῳ ἀκόλουθον ἦν ἐκ τοῦ πατρὸς εἰρηκότι τὸ πανάγιον ἐκπορεύεσθαι πνεῦμα μαθόντες, ἐκ τοῦ πατρὸς καὶ τὴν ὕπαρξιν ἔχειν ὁμολογοῦμεν, ὅτι μηδαμῶς ὕπαρξις τῷ παναγίῳ πνεύματι δι' υἱοῦ· κἀντεῦθεν εἰς δήλωσιν ἑτέρας ἐννοίας τὴν ἐκπορεύεσθαι λέξιν ἀπαγαγεῖν, ὃ παρακατιὼν ἐστιν οἷα δὴ κατηναγκασμένος, πεποιημένος ἀναφανδόν· νῦν δ' ὡς εἰ λήθην ἔσχε βαθεῖαν, τῶν ὧν φθάσει προηργμένος ἐρεῖν, καὶ παραδοῦναι ἀφέμενος, μεταπηδᾷ πρὸς τὸ αἴτιον· καὶ πάντως ἂν εἶχεν ἑπομένως τῶν περὶ τῆς ἐκπορεύσεως προδιηκρινημένων ὀλεθρίων φωνῶν, ὡς εἰρήκει· καὶ περὶ τοῦδε διαλαβεῖν, ὡς βεβούλητο τὸ καθ' εἱρμὸν προσῆκον τοῦ λόγου τηρῶν, καὶ καθόσον εἰκὸς ἀσυνάρτητον· τούτου δ' ἐκπίπτει παντάπασιν· οὐχ' ὡς ἐξ ἀγνοίας τὰ τῆς διανοίας οὕτως εἰωθὼς ἐκφερομυθεῖν, ἀλλ' ὅτι πρὸς τὸ τῆς

κακίας ἄκρον ἐληλαμένος, καὶ τὰ ταύτης ἐξανύσαι καθ' ἡμῶν διηρεθισμένος τοῦ εὐθέος ἐκτρέπεται· καὶ τί ἄλλο τὸ ἐντεῦθεν, ἢ πρὸς οὕτως ἀσυμβάτους καὶ ἀναποδότους λόγους χωρεῖν; καὶ εἴθε μέχρι προφορᾶς τὸ ἐν τούτοις, καὶ μὴ πρὸς τὴν περὶ θεοῦ δόξαν ἀνοδίας καὶ τοῦ ὀρθοῦ κατὰ βάθος ἐκπτώσεως· ἣν δεινὴν οὖσαν, καὶ ἡ σαφὴς κατὰ τῶν τῆς εὐσεβείας ὑπερμάχων ἐναντιοφανία παρίστησιν, εἴπερ σφῶν ἀριδήλως θεηγορία· εἴπερ σφῶν ἐμπνευσθεῖσα θεόθεν διδασκαλία ἡ τοῦ παναγίου πνεύματος ἐκπόρευσις δι' υἱοῦ· εἴπερ οἰκονομικοῦ συνεδρίου πατέρων φωναὶ λέξεσιν αὐταῖς διαῤῥήδην ὅρον ὀρθοδοξίας τὰ ταύτην περιέχοντα συνοδικὰ γράμματα μαρτυρούμεναι· ὧν πρώταρχος καὶ ἐκφάντης ὁ διαληφθεὶς ἐν πατράσι Ταράσιος· εἴπερ αὖθις τῶν ἐπὶ θεολογίᾳ λαμψάντων παράδοσις ἀδιάστικτος, ἄλλον τρόπον ὑπάρξεως ἐπὶ τοῦ πνεύματος δηλοῦν τὴν ἐκπόρευσιν· ὡς ἐπὶ τοῦ υἱοῦ δῆτα τὴν γέννησιν· καὶ εἴπερ πρὸς ταῦτα τοῦ δι' ὃν ὁ λόγος ἀντινομοθεσίαι, καὶ προφανεῖς ἀντιπαραδόσεις· ὅτι μηδὲ ὕπαρξις τῷ παναγίῳ πνεύματι δι' υἱοῦ ὡς ἐντεῦθεν συνᾷδον εἶναι, ὅτι μὴ δὲ ἐκπόρευσις. cod. f. 95. a.

ιζ'. Καὶ εἴπερ οὖν ἀντιδιαστολαὶ τούτου καὶ διαστίξεις, τῆς οἰκείας ἀλλοιοῦσθαι σημασίας τὴν ἐκπόρευσιν ἐν τοῖς δι' υἱοῦ, καὶ τηνικαῦτα μὴ τὴν εἰς τὸ εἶναι σημαίνειν πρόοδον διϊσχυριζόμεναι, ὃ καὶ αὐτῆς ἐκ μόνης τῆς πρὸς τοὺς θεοφορουμένους διδασκάλους ἐναντιώσεως τὸ ἀντίδοξον οἷον φέρει καταφανές· οὐχ ἧττον δὲ καὶ οἷς ἀναφαινόμενον ἔνθεν ἔχει τὸ τῆς ὀργανικῆς τρανώσεως ἔκτοπον· εἰ γὰρ οὐχ ὅτι περ ἡ φυσικὴ καὶ οὐσιώδης τοῦ πνεύματος ὕπαρξις δι' υἱοῦ, τοῖς τῶν θείων ὑφηγηταῖς ἐκπόρευσις ἰδιαζόντως ὠνομασμένη, καὶ τὰ τῆς ἐκφάνσεως ἀραρότως εἰσὶν εἰρημένα καὶ τῆς ἐκλάμψεως· ἀλλ' ὅτι ταῦτα καθὼς ἐστιν ὁ καινὸς οὗτος θεολόγος ἐπινενοημένος νοούμενα, ἤτ' εἰς τὸ εἶναι δι' υἱοῦ τοῦ πνεύματος πρόοδος ἔνθεν ἀθετηθείη, ἥτε ἐκπόρευσις εἰς αὐτὰ μεταβᾶσι τοῦδε τοῦ οἰκείου νοὸς ἐκσταίη, ὥρα λοιπὸν τὰ τῆς ἀρειανικῆς μανίας μέγα πάλιν ἀναθαρσῆσαι, καὶ ἀναβιῶναι περιφανῶς πρῶτα τμηθέντα τῷ τμητικῷ τῶν πατέρων σιδήρῳ, τελευταῖα νῦν αὖθις παρεισερπύσαντα· τίς γὰρ μὴ προκάτοχος ὤν, οἷα δή τινι τῶν τῆς ἐνσκεδασθείσης σκοτομήνης πολυειδῶν αἰτιῶν τὸ παναλκὲς πνεῦμα δι' υἱοῦ ἐκλάμπειν, καὶ ἐκφαίνειν ἀκούων, εἶτα μὴ ὡς τὴν φυσικὴν δι' υἱοῦ ὕπαρξιν ἔχον, ἀλλ' ὡς οὐκ ἔχον δεδιδαγμένος, ἔτι τε διήκειν αἰῶν, ἐπειδὴ καὶ αὐτη τῶν οἷος αὐτὸς ὁ ταυτὶ κελεύων φωνὴ γεγραμμένη ἐπὶ ἐξηγήσει δῆθεν τῆς ἐκπορεύσεως· ἔπειτα δι' υἱοῦ διήκειν, οὐχ ὡς ὅπερ αὐτη ταῖς ἀληθείαις ἐστὶ δηλοῦσα κεκτημένον, ἀλλ' ὡς οὐ κεκτημένον ἠνωτισμένος, οὐχὶ σάφα καὶ ἀναμφιλέκτως τοὺς ταῦθ' οὕτω διατακτομένους ὀργανικὴν εἴτε λειτουργικὴν χρείαν εἰδοίη τὸν υἱὸν ἀποπληροῦν διατείνεσθαι, κἂν ἀπαρνούμενοι μυριάκις εἶεν, κἂν τὸ φυσικῶς, κἂν τῷ ἀϊδίως ὡς κάλυμμα προβαλλόμενοι; cod. f. 95. b.

ιη'. Τί γὰρ πρὸς ὄνησιν σφίσι τὸ φυσικῶς; τί τὸ ἀϊδίως, μὴ εἰς τὴν φυσικὴν καὶ ἀΐδιον ὕπαρξιν λαμβανόμενα; ἐφ' ᾧ καὶ πάλιν αὐτὰ τὰ τοῦ νέου

τούτου νομεθέτου λαβόντες ἔπη· ὡς εἰ τῶν ἁπάντων ἦν ἐφ' ἑτέρῳ τινὶ μηδαμῶς ἢ καθ' ἑαυτοῦ συνθέσθαι κεκινημένος· καὶ σκεπτέον, εἴ γε τῆς ἀκολουθίας οὕτως ὅσα δὴ καὶ τῆς ἀληθείας τυγχάνοιεν ὄντα φαμὲν· ἀθετοῦμεν τὰς ἐπικινδύνους, προσθείην δ' ὅτι καὶ ὀλεθρίους περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως αὐτῷ καὶ τοῖς μετ' αὐτοῦ λαληθείσας φωνάς· τὸ γὰρ πανάγιον πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι παρ' αὐτοῦ τοῦ θεοῦ καὶ λόγου μαθόντες ἐκ τοῦ πατρὸς καὶ τὴν ὕπαρξιν ἔχειν ὁμολογοῦμεν, καὶ δι' υἱοῦ ἐκπορεύεσθαι παρ' ὧν πρὸς θεοῦ τὸ διαρθρῶσαι τὰ τοῦ θεοῦ διδαχθέντες, δι' υἱοῦ τὴν ὕπαρξιν ἔχειν ὁμολογοῦμεν· καὶ ὡς λίαν ἐπ' ἀμφοτέροις ῥήσεσι ταύταις οἴδαμεν τὴν ἐκπόρευσιν, οὕτω καὶ μίαν αὐτῆς ἐπ' ἀμφοτέραις οἴδαμεν τὴν διάνοιαν· καὶ ποῦ τὸ φωνὰς ἡμῖν ἐπικινδύνους λέγειν περὶ τῆς ἐκπορεύσεως; ὅτε μίαν μονοειδῶς, ἣν παρελάβομεν, ἀμέλει καὶ ταύτας ἐκείνας εἰδόσιν, αἳ σημασιῶν ἑτερότητας τὰς ῥηθείσας, αἳ διαστολὰς ἀφορίζουσιν· ἀντερεῖν οὐκ ἔστιν, ὡς μὴ οὐχ ἅπερ ἐπ' αὐτῆς καθ' ἡμῶν εἰρηκότες εἶεν οἱ ταῦτα θεσμοθετοῦντες καθ' ἑαυτῶν ἀριδήλως ἀποφηνάμενοι· κἀπειδή περ ἤδη πρὸς τὸ αἴτιον μετακεχωρηκέναι χρεών, οἷα δὴ τοῦ γενναίου μετακεχωρηκότος λόγοις οὕτως ἰθυτενέσιν ἐκεῖνα καὶ περὶ τούτου πρεσβεύοντες καταγγέλλομεν ἅπερ ἡμῖν ἀνωτέρω προτεθειμένα οἱ πατέρες ἡμῶν ἀνήγγειλαν, καὶ ἐθέσπισαν· ὧν καὶ τὰ τῆς συνδρομῆς ὡς ἐπίπαν τῶν εἰρημένων οὐμενουν ἀπολιμπανόμενα, καθὰ τῷ αὐτῷ πνεύματι στοιχειούμενα· τούτων ἐκ πατρὸς ἐπορεύεσθαι δι' υἱοῦ τὸ πνεῦμα· τούτων τηλαυγῶς ἐντεῦθεν προβολέα τοῦ πνεύματος δι' υἱοῦ τὸν πατέρα τρανοῦσθαι· ἀλλὰ καὶ φωναῖς διαπρυσίοις οὕτω κατὰ ῥῆσιν διαγορεύεσθαι· τούτων οὐχ ἁπλῶς εἰς αἴτιον πανταχόσε τὸ προβολεὺς, ἀλλὰ καὶ διάφορον μονοτρόπως λαμβάνεσθαι· τούτοις καὶ ἡμεῖς ἐξακολουθοῦντες, τὸ ἐκπορευτὸν ἐκ πατρὸς δι' υἱοῦ πνεῦμα, αἰτιατὸν ἐκ πατρὸς δι' υἱοῦ· καὶ τὸν αὐτοῦ προβολέα διὰ λόγου, αἴτιον εἰλικρινῶς διὰ λόγου, μετὰ τῆς κοινῆς σφίσι συμφωνίας, καὶ φρονοῦμεν καὶ λέγομεν.

cod. f. 96. a.

ιθ'. Μετὰ τούτων τὸ μὲν αἴτιον εἶναι πιστεύομεν τῶν προσώπων, τὸ δὲ ἐκ τοῦ αἰτίου, καὶ τοῦ ἐξ αἰτίας, τοῦ υἱοῦ δή φημι καὶ τοῦ πνεύματος αἰτιατοῦ πεφυκότος, εἴ γε, τὸ ἐξ αἰτίας αἰτιατόν· ἄλλην πάλιν διαφορὰν ἐννοοῦντες, τὸ μὲν ἑκατέρων τὸν υἱὸν δηλαδὴ προσεχῶς οἴδαμεν ἐκ τοῦ πρώτου, τὸ δὲ τὸ ὑπερτελὲς πνεῦμα διὰ τοῦ προσεχῶς, τουτέστιν αὐτοῦ τοῦ μονογενοῦς ἐκ τοῦ πρώτου κηρύττομεν, τοῦ ταῦτα διευκρινοῦντος θεοειδοῦς διδασκάλου, αἴτιον τὸ αὐτὸ καὶ πρῶτον διασαφοῦντος ἀκολούθως τοῖς κατ' αὐτὸν θεηγόροις, οἳ πρώτην αἰτίαν ἡνωμένως τὸν πατέρα παρέδοσαν· καὶ τινὶ τῶν ἁπάντων μὴ συγχέειν οἷα δὴ παραβαίνειν θελόντων ὅρια πατέρων, οὐχὶ καὶ κατὰ λέξιν ἐντεῦθεν διαφανὲς διὰ τοῦ προσεχῶς, τοῦ υἱοῦ δηλονότι, αἰτιατὸν ἐκ πατρὸς τὸ θεῖον πνεῦμα θεολογεῖσθαι, κἀκ τῆς αἰτίας διὰ υἱοῦ δογματίζεσθαι; εἰ μὲν οὖν οὐ φωναὶ ταῦτα τῶν ἐκ θεοῦ σωτήρων, εἰ μὴ παραδόσεις, εἰ μὴ τῶν καλῶς σφίσι τεθειμένων ὁρίων διαταγαὶ, τοῖς ὀρθῶς

cod. f. 96. b.

αἱρουμένοις φρονεῖν ἀμετάθετοι, δειξάτω τῆς ἀληθείας ὁ αὐθαίρετος μαχητὴς, καὶ ἡμεῖς τῆς ὑπὲρ αὐτῶν τηλίκης τοῦδε τυραννίδος ὑποπεσόντες ἐκσταίημεν· εἰ δ' οὐμενουν ἔχει δεῖξαι, ὡς εἴ γε μὴ δὲ τὸν ἥλιον σκότος τὸ τοῦ σκότους ὄντως ἐκτόκιον, τί κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ὀλοθρευτοῦ δίκην ὁ μάταιος μέμηνεν; Ἀλλ' ἡμῖν μὲν εἰ τοσοῦτον ὧδε καὶ περὶ τῆς αἰτίας, μηδὲν οἴκοθεν φωνοῦσιν, ὅτι μὴ λελεγμένον καθαρῶς εἴη τοῖς θεορρήμοσιν· εἰ δὲ καὶ περὶ τούτου κενολογοῦν ὑπάρχει τὸ τὴν ὁρμὴν ἀνυπόστατον, ἐπὶ τῇ προβολεὺς αὖθις ῥήσει προστάσσον διανοίας εὑρέματα κακοδαίμονος· ἐπεὶ τοῖς κατωτέρω κειμένοις αὐτοῦ κεφαλαίοις τὸ πᾶν εἰ τόδε φανεῖται τῆς γλωσσαλγίας ποιούμενον, ἐντελῶς ἐκεῖσε γενομένων εἰρήσεται.

κ'. Νῦν δὲ τῶν ἐπεσκεμμένων ἑξῆς, ἀποκόπτειν ἡμᾶς τῆς αὐτοῦ κοινωνίας λέγων καὶ ἀποστρέφεσθαι, τὸ δεινότατον καὶ μέχρις αὐτῆς ἀκοῆς ἀφόρητον διαπεπραγμένους, ἐπάγει. "Τοῦ γὰρ ἡμετέρου γένους τε καὶ δόγματος „ ἄνωθεν ὄντες, καὶ εἰς τήνδε τὴν ἐκκλησίαν τελοῦντες, ὅμως ἐπανέστησαν „ κατ' αὐτῆς, καὶ ἠθέτησαν τὴν καὶ ὠδινήσασαν αὐτοὺς πνευματικῶς καὶ ἐκ„ θρέψασαν.„ Καὶ λοιπὰ τούτοις ὅμοια παρενείρει, φορυτὸν ὅλον συμφορῆσαν λοιδοριῶν· πλὴν ἔστι τί καὶ καλῶς ἐνταῦθα προφέρον καὶ ἀψευδῶς, τὸ τῆς αὐτοῦ κοινωνίας, οὐμενουν ὧν ὁρᾶται κατωτέρω ψευδηγοροῦν, φάσκειν ἀποτέμνειν ἡμᾶς· ταύτης γὰρ ἑαυτοὺς εὐθύμως προτεταχότες ἡμεῖς διεστήσαμεν, οἷς τε δράμασι καὶ τρόποις τὸν ἱερὸν εἰσπηδῆσαν θρόνον ἀνιέρως, τὸ πάντολμον ὤφθη κατὰ ἱερῶν καὶ ἱερέων, ᾧ δίκῃ χρησάμενον· καὶ οἷς ἐς ὕστερον cod. f. 97. a. κατὰ τῶν περὶ θεοῦ πατρικῶν θεσπισμάτων λυττῆσαν ἀνεφάνη μανιωδῶς· κράζει ταῦτ' εἰργασμένον· "τοῦ γὰρ ἡμετέρου γένους τε καὶ δόγματος ὄν„ τες, καὶ εἰς τήνδε τὴν ἐκκλησίαν τελοῦντες, ὅμως ἐπανέστησαν κατ' αὐτῆς.„ Ἐγὼ μὲν οὖν ἐπὶ τούτοις οὐκ εἰδώς εἰμι τὸ παράπαν, οὐθ' οἷον τῷ ἀνδρὶ τούτῳ τὸ γένος, οὔθ' οἱ φύντες ὁποῖοι, οὔτέ τι τῶν ὅσα χαρακτηρίζειν οἶδε τὴν ἐξ ὧν εἰς φάος προήχθη προαγωγὴν, καὶ πρώτην βλάστην αὐτοῦ καὶ ἀναγωγὴν, ὅτι μὴ καὶ πάντες ὅσον εἰδεῖεν οἱ τῶν ἡμετέρων κλιμάτων, ὡς εἴη μὲν γέννημα τούτων ὀθνεῖον, νήσου δὲ καὶ χώρας ἐξωρμημένον, ἀφ' ἧς καὶ κλῆσιν ἐξιδιώσατο· ὥστ' οὐκ ἂν οὐδὲ τοῦτο ῥᾳδίως δεξαίμην, φυλῆς με τῆς αὐτοῦ καθεστάναι, εἴ γε ταύτην ἀμφίβολος· τὸ γὰρ δὴ καὶ τὴν πρὸς ταῦτα φήμην ἑλεῖν, ἢ τὴν καθ' ἡμᾶς οἰκουμένην λόγοις ἀτεχνῶς ὁμοφώνοις ἐπέδραμεν, ἀπὸ σκοποῦ μοι καὶ τὸ περὶ ταύτην προσεσχηκέναι ἀνοίκειον· πλὴν ὅτι μοι κἀκ τῆσδε πρόσεστι τὸ ἀμφίρροπον, ἄλλων ἐπ' αὐτῇ μέρος οἷπερ τὸ πλεονάζον, ἢ καὶ σύμπαν σχεδὸν, ἐχόντων ὡς ἔχουσιν· ἡμῖν δὲ καὶ τὸ ὁρμᾶσθαι δῆλον ὅθεν ὑπάρχον, οἵ τε τεκόντες οὐκ ἀνεπίγνωστοι γενεᾶς ἐπὶ τῆς παρούσης ὀφθέντες, ἧτε λοιπὴ τῶν ἀφ' αἵματος ἐναπολειφθεῖσα μερὶς, μάρτυρες τῆς ἡμῶν ἀνέκαθεν ῥωμαιότητος καθεστήκασιν.

κα'. Δόγμα δ' οὐ προσφάτοις, καὶ τοῖς ἐκ πατέρων ἀντιθέτοις, προφάσει τοῦ κατὰ τοιούτων ἀντιβῆναι, αὐτὰ ταῦτα παρεισενέγκασθαι προσηνέχ-

θημεν· ἀλλὰ τοῖς πατρίοις ὡς δεικνύντες ἐσμὲν, ἐνεμείναμεν ἀντιλήψει θεοῦ, καὶ ἐμμένομεν, καὶ τὸ τὴν τῶν ἐκκλησιῶν εἰρήνην ἑλέσθαι θεοφιλὲς ἡμῖν ἴσ-
cod. f. 97. b. μεν, οὐ μωμητὸν, κἂν διαῤῥαγοίη τὸ τοῦ ψεύδους τιθήνημα κεκραγός· κἂν εἰ θαλάσσας ὅλας ὕβρεων ἀντλήσειε καθ' ἡμῶν· κἂν εἰ λίθους αὐτοὺς ἐπιθέσει διαβολῶν συγκινήσειεν· οὐ γὰρ κατὰ τῆς ἡμῶν ἐκκλησίας ἀλλ' ὑπὲρ αὐτῆς καὶ γνώμῃ καὶ προθέσει καὶ διανοίᾳ τῶν τε θεοσδότων διδασκάλων θεοσόφοις ὑποθημοσύναις τὸ τῆς ὁμονοίας καλὸν προειλόμεθα· οἵ γε καὶ οὕτως ἐξ αὐτῶν διετέθημεν, ἔκ τε τῆς ὅπως παρεισεφθάρη τὰ τοῦ σχίσματος ἱστορίας, καὶ ὁποῖα φεῦ ἔθετο παριστώσης, ὡς καὶ μεγάλους ὑπὲρ τούτου καμάτους τῷ πρὸς τὴν ῥωμαϊκὴν διαπρεσβεύεσθαι καθέδραν ἀνειλημμένους, ὀκλάσαι μὲν καὶ πρὸς ἀναβολὰς ἀπιδεῖν, μόχθοις καὶ κινδύνοις ἀπειρηκότας, ἀκουσίως δ' ἀναδεχομένους· συνίστορες τοῦδέ μοι καὶ οἱ νῦν αὐτοκράτορες· τοῦδέ γε ῥηθησομένου θεὸς ὁ καρδιῶν καὶ ἐννοιῶν θεωρὸς ἐν αὐτοῖς καὶ μᾶλλον ῥώννυσθαι τοῖς δεινοῖς, ἐν αὐταῖς περιστάσεσι ταῖς θανατηφόροις, ὡς οἷόν τε εὐψυχεῖν, ὡς ὑπὲρ ὁμοφύλων ἐπὶ κατὰ θεὸν ἔργῳ τληπαθοῦντας, καὶ προϊεμένους τὰ τῆς ζωῆς· καὶ τοῦθ' οὕτως ἔχον, μή τοί γε τὰ δεινότατα καὶ μέχρις αὐτῆς ἀκοῆς ἀφόρητα διαπεπραγμένους ἡμᾶς οὐ φανεῖ, ἀλλά γε τἀναντία τούτων καθ' ὁλοκληρίαν πεπραχότας παραστησάμενον· καὶ λοιπὴν ἐφεξῆς δυσφημίαν ἀντεστραμμένως μᾶλλον ἡμῖν ἁρμόττειν προσβεβαιώσειεν, παρά γε ἀληθείᾳ καὶ τοῖς εἴ ποθεν ἐκ θεοῦ δειχθεῖεν τῶν πραγμάτων ὀρθοῖς διαγνώμοσι.

κβ'. Νῦν δέ γε καὶ τοῦτο κέρδος οὐ τῶν ὁποιωνοῦν καὶ τυχόντων, εἰ καὶ κατὰ τηλίκην τυραννίδα καὶ βούλησιν τῷ τῆς ἀληθείας ἤπερ ἡμῶν ἀντιπάλῳ συσταίη· τὸ πρὸς τῶν ὁμογενῶν ὑπὲρ αὐτῶν διανοηθέντας καὶ εἰργασμένους,
cod. f. 98. a. ὅσα καὶ κακούργους δυσφημεῖσθαι καὶ βάλλεσθαι. Ταύτῃ τοι καὶ τῶν ῥηθέντων πάλιν ἐχομένως βοᾷ τὸ ἀναιδείας ἀπαραμίλλου μεστόν· " δέον γὰρ „ πάντα κίνδυνον ὑπὲρ αὐτῆς, καὶ τῶν αὐτῆς ὑπομένειν δογμάτων, καὶ μὴ δ' „ αὐτὸν ἀπαναίνεσθαι θάνατον, οἱ δὲ καὶ χεῖρον ἢ ἄνθρωποι φύσει πολέ„ μιοι διετέθησαν πρὸς αὐτήν.„ Καὶ ὡς μὲν ἡμεῖς οὔτ' ἐπ' ἀναιρέσει δογμάτων, οὔτέ τινι τρόπῳ τῶν ἀπευκταίων, ἀλλ' ὑπὲρ τῆς ἡμῶν ἐνδιαθέτως ἐκκλησίας ἐκ τῶν θεοφόρων προηγόρων τῆς εὐσεβείας, ἥ γε καὶ ἀληθὴς ἐκκλησία, καὶ οἷς τὸν τῆς ἀληθοῦς μὴ ἀντιπίπτειν, ἀλλ' ἐνστηρίζεσθαι τὰ τῆς ἑνωτικῆς συμβάσεως ἠσπασάμεθα, οὐ πολέμιοι μᾶλλον ὅτι μὴ φύσει τῆς κατὰ θεὸν ὑπὲρ αὐτῆς εἰρήνης ζηλωταὶ γεγονότες, ἱκανῶς ἐδείχθη τε καὶ δειχθήσεται· τόσον δ' ἡμῖν καὶ τὸ πάντα κίνδυνον ὑπὲρ τῶν αὐτῆς ὑπομένειν δογμάτων, καὶ μὴ δ' αὐτὸν ἀπαναίνεσθαι θάνατον, ὡς σφίσιν ἀπ' ἐναντίας τρανῶς νεοφανῶν αὐτῷ τῷ ἀντιδίκῳ λαληθέντων ἀλλοτρίων ῥημάτων, ὑπερβολῇ μανίας καθ' ἡμῶν ὡς κεκινημένῳ, τοιούτοις ἑαυτοὺς ἐπὶ τούτῳ δοῦναι, οἷς ἐνωράθημέν τε, καὶ ἐνορώμεθα· οὐ γὰρ ἂν παρὰ μόνην αὐτὴν τὴν ἐκκλησιαστικὴν πραγματείαν, ἐπεί περ τῶνδε τῶν βλασφήμων ἀπόντων, ἀρ-

κούντως ἂν ἡμῖν εἶχεν ἐκεῖνα τὸ ἐπ' αὐτῇ, οἷς τὸ πρότερον καθυπήχθημεν, ὡς ἐξ αὐτῶν παρεῖναι, λόγοις οὖμενοῦν, ἢ σημείοις τεκμηριωδῶς εἰδέναι τῷ βουλομένῳ· πράγμασι δ' αὐτοπίστοις μὴ ἂν ἡμῖν ἀπόβλητον μὴ δ' αὐτὸν νομισθῆναι τὸν θάνατον, εἰ δεήσειε· καὶ ὡς μὲν οὕτως ἡμεῖς οὐκ ἀμφιδοιάσιμον· πυνθάνομαι δ' οὖν ἀπάρτι τὸν ταῦτα φθεγγόμενον ἀριστέα· σύ δ' ὦ στερρὲ καὶ πολύτλα, φράσον ἡμῖν μεθ' ἧς εἴωθας παρρησίας, πρῶτα μὲν δύο σοι πράξεων διηγωνισμένων ἐπὶ τῇ δι' ἣν οἱ λόγοι τρανῶς ὑποθέσει ὁ cod. f. 98. b. ποτέραν ὑπὲρ τῆς ἡμῶν εἴης ἐκκλησίας διηνυκὼς, ἵν' ἐντεῦθεν ὧν ἐκένωσας ὕβρεων καθ' ἡμῶν, τούμπαλιν αὐχῶν αὐτὸς ἐπὶ εὐφημίᾳ φανείης, καὶ τέκνον οὐ μωμητὸν ὀφθείης, καὶ υἱὸς μὴ χωλάνας ἀπὸ τῶν σῶν τρίβων, εὐθεῖα τε γενεὰ καὶ μὴ διεστραμμένη καὶ πονηρά;

κγ΄. Εἴ τι τε τούτων λοιπὸν ἦν ἐπὶ τῇ τῆς εἰρήνης οἰκονομίᾳ σπουδὴν οὐμετρίαν θέμενος συνεστήσω· ἢ τήνδε τὴν ἑτέραν, ἣν ἐπ' ἐκείνης ἐντελεῖ κατωρθώκεις ἀνατροπῇ· οὐ γὰρ δὴ καὶ ἀμφοτέρας ἐρεῖς· εἴγε μηδέν τι τὸ συμβαῖνον ἀμφοῖν, ὅτι μὴ λίαν ἐμφανῶς τὸ ἀσύμβατον· οἶδα σε τὴν νῦν ὁλοψύχως προκρίνειν, καὶ τοσοῦτον ὡς μακαριστὸν ἡγεῖσθαι, εἴ σοι τὰ ἐκείνοις μυχοῖς ἀδύτοις ἐκρύβη μᾶλλον· ἤπερ εἰ μηδαμῶς ἐνηργήθη σοι· ἀλλ' ἐχουσῶν ἑκατέρων τὸ δῆλον τά τε θατέρας πρὸς τὰ τῆς ἑτέρας παραβαλλόμενα οὐκ ἐᾷ σοι τὰς τῶν δυσφημιῶν ῥηθείσας ἄλλως, ἢ ὡς αὐτὸς ἐκφωνήσας εἴης· οὐχ ὡς ἐγὼ προσεχῶς καταστρώσας προσεφαρμόττειν σοι· σύνες γὰρ εἰ μὴ τὰ τῆσδε πρὸς τὰ ἐκείνης ὁρώμενα, καὶ αὖ ἀντιστρόφως ὁποτέρως ἂν βούλει, γενεάν σε πονηρὰν καὶ διεστραμμένην, εἰ μὴ υἱὸν οὐ χωλάναντα καθάπαξ ἀπὸ τῶν σῶν τρίβων, ἀλλὰ χωλαίνοντα καθαρῶς καὶ ἀναντιρρήτως δεικνύει, εἰ μὴ ὅσα τῶνδε σοι ἐφεξῆς· καὶ ταῦτα μὲν κατὰ σὲ, ἐκ σῶν ἀποφάσεων, οὐδὲ τοῖς πολλοῖς οὖμενουν ἀγνοούμενα· εἰ δέ γε καὶ ἅπερ αὐτοὶ συνοίδαμεν ἐπὶ σοὶ, καὶ δι' ἃ τούσδε τους λόγους ἐνεστησάμεθα, καὶ ὧν ἕνεκα, πάνθ' ὅσα σοι βουλητὸν ὑφιστάμεθα, θεοῦ παρεωρακότος ἁμαρτίας ἡμῶν, δι' ἃς ἀνθρώποις λυμαιῶσι τὸ κρατεῖν καὶ ἰσχύειν παραχωρεῖσθαι, καὶ τὸν τῆς κακίας ἰὸν εἰ δυνατὸν κατὰ πάντων ἐμεῖν, ἵλεων τ' ἐπιβλεψαμένου καταφανῆ cod. f. 99. a. καὶ πλήθεσι τῶν ὁμοφύλων ἡμῖν ἐγεγόνει, μικρὸν τῆς ὑποθέσεως ἀρθείσης ἀχλύος, ἧ σοι τὸ γεγηθέναι, καὶ τὰ πρὸς τοῦ τρόπου δρᾷν ἀδεῶς, τότ' ἂν ἐπὶ μᾶλλον ἐγνώσθης, ὁποῖος σοὶ σφίσι πολέμιος καὶ ἀλάστωρ, καὶ πρὸ τούτων οἷς τοῖς ἐκ θεοῦ δοθεῖσιν ὁδηγοῖς ἡμῖν καὶ προστάταις τοῖς θεοφορήτοις διδασκάλοις προφανὴς ἐχθρὸς καὶ ἀντίπαλος· ἀλλὰ τὰ μὲν περὶ τούτων ὅπως ἀποβαίη, θεὸς ἂν εἰδοίη· ἡμῖν γὰρ οὐδὲν ἄλλο πρὸς ἐλπίδος, πρὸς μόνον αὐτὸν ἀφορῶσιν, ἢ τὸ μέλλον καὶ ἀπαραλόγιστον ἐκδέχεσθαι λογοθέσιον.

κδ΄. Σὺ δ' αὖ ἔπειτα κἀκεῖνο σαφηνίσας διάγγειλον τινὰς τῶν κινδύνων ὁ ἀκάμας ἀνέτλης; ἐπειδὴ χρόνος ἦν κἀκεῖνος, ὡς ἀνωτέρω μεγαλαυχεῖς, ἡνίκα παρ' ὅλον τοῦτον ὑπῆρχε τῇ ἐκκλησίᾳ καρτερεῖν τὰ δεινότατα, οἷς συνεξετά-

ζεσθαι καὶ σαυτὸν παρεμφαίνεις, ἐξ ὧν καὶ μάλιστα συνημμένως ἐπάγεις ὡς τὸ μετὰ ταῦτα παρακαλεῖται θεὸς ἐφ' ἡμῖν, ὅπως μοι καὶ τοῦτο συμπαραληφθείη, ὡς ἡ ὑπόσχεσις· τίσι τῶν τιμωριῶν ὁ ἀδάμας, τῶν κακώσεων ὁποίαις ὁ ἀήττητος συνεσχέθη· ἐξ ὧν οὕτω σοι τὸ εὐπαρρησίαστον, ὡς μὴ δ' αὐτὸν ἑτέροις ἐπικρίνειν ἀπαναίνεσθαι θάνατον· ὢ πόσον σοι τὸ ἀναιδὲς ἐπὶ δυστροπίᾳ, οὕτως ἀποθρασυνομένῳ, οἷς ἐχρῆν ἐγκαλύπτεσθαι· πότε καὶ τίς ὁ καθ' ὃν σοι ταῦτα καιρὸς, ἤ τ' ἀληθὲς, ἵν' ἀντιστρέψας ἐγὼ φαίην, τί ποτε παρ' ἐκεῖνον τὸν χρόνον διάστημα, καθ' ὃ πολλῆς οὐκ ἀπέλαβες ἀναδοχῆς παρὰ τῷ κρατάρχῃ καὶ οἰκειώσεως, παρά τε τῷ πατριάρχῃ δωρεῶν οὐ μεγίστων μετὰ τοῦ συνήθους ἁγιασμοῦ, εἰ μή που τὸ πρὸς βραχύ σε θέλεις ἐρεῖν ἰδιάσαι βαρυθυμήσαντα, ὅτι πρεσβείαν οἰκονομῆσαι πεπιστευμένος, οἷς μὴ κατὰ
cod. f. 99. b. τὸ δοκοῦν τῷ κρατοῦντι μετῆλθες τῆς παρ' αὐτοῦ διὰ λόγων ἐπειράθης ἀγανακτήσεως· ἢ ἐκεῖνο πάλιν, ὡς μετὰ τὴν τῆς ἐκκλησιαστικῆς πράξεως ἐπιτεταμένην συγκρότησιν, οἷς μὴ τῆς ἧς ἔχεις τυραννήσας ἀρχῆς ἀρτίως, ἠξιωμένος ὤφθης· ποῦ γὰρ ἦν τῆς βασιλικῆς ἐκείνου τοῦ σκηπτούχου ψυχῆς συνεργὸν ἐγχειρισθῆναι τοσοῦτον θρόνον τοιούτῳ φανῆναι, παρὰ τὴν ἀποτυχίαν τοῦ ποθουμένου μανεὶς, εἰς ἀντιδικίαν δῆθεν τοῦ κανονικῶς εἰληχότος κατὰ τῶν δογμάτων τῆς εὐσεβείας ἐχώρησας, σύγγραμμα κρύφα θέμενος ἐπὶ τούτῳ, καὶ βαθὺν ὑπὸ σκότον τηρήσας ἵν' εἴη σοι δέλεαρ ἐν καιρῷ; ἀλλ' εἰ ταῦτά σοι περὶ πλείστου, παρ' ἡμῶν ἐπιτόμως λέλεκται τῶν εἰδότων, μεθ' ἧς σύνοιδας ἀληθείας, καί τινες οὐκ ὀλίγοι συνοίδασιν ἕτεροι· εἰ δὲ καὶ τῶν οὐκ εἰδότων εἰσὶ, πρὸς τούτους, ἢ καὶ πάντας ὁμοῦ κεφαλαιωδῶς, ἀπόχρη τὸ μήτοι γε μηδαμῶς, μηδέν σε τῶν δυσχερῶν ὑποστῆναι παρ' ὅλον ἐκεῖνον ὃν φάσκεις καιρὸν, ἀλλὰ καὶ τῶν ὧν εἰρήκειμεν διαφερόντως ἐπιτυγχάνειν, οὐθενὸς ἡμῖν τῶν εἰς κοινωνίαν τοῖς ἀπὸ Χριστοῦ κεκλημένοις ἀνηκόντων λειπόμενον· ἄχρις ὥρας καθ' ἣν ἡ εἰς τὸ δρᾶν τάδε σοι τῶν πραγμάτων ἐπισταίη μεταβολή· εἶτα τὸ μὲν τὰ τῆς θείας δίκης δεδιέναι, τὰ τῆς θείας ἀνοχῆς εὔκαιρα τῷ τρόπῳ σοι εὑρηκὼς παραφαῦλον οὕτω ποιῇ· αὐτὸ δ' εἰ μή τι ἄλλο τὸ πρὸς ἀνθρώπους ὁρᾶν ἐπὶ ἐξαπάτῃ μὴ τῶν κατὰ σὲ ἀμυήτους οὐκ ἐπαισχύνῃ, αὐτὸ τὸ τὰ τοιαῦτα σφᾶς ἐπὶ μέσους ἀδολεσχεῖν, οὐκ αἰδῇ; οὐκ ἐρυθριᾷς; καὶ πῶς ἄν τις ἐπὶ ἀπηναιδευμένῃ κακίᾳ πᾶσαν ὑπερελάσας φύσιν ἁπλῶς, φανείη, ζωτικῇ κινήσει καὶ δυνάμει συνεχομένην, καὶ μηδὲ θεοῦ λόγον, ἢ ὅσον ἐπὶ τῷ φενακίσαι ποιούμενος;

cod. f. 100. a. κε'. Ἄλλως ἢ οὕτω διανοηθεὶς καὶ διαπραξάμενος, ὅμως ἔτι σοι καὶ αὐτῷ τοιούτοις ἡμῖν ἐπεμβαίνειν, ἐξ οὗ περ ἰδίᾳ κατὰ τοῦ πατριάρχου σύντροχα τοῖς διηγγελμένοις ἐγκαταστρωννύεις λιβέλλου· ἴδε γὰρ ὡς πολὺ τὸ ἐντεῦθεν τοῖς σοῖς ἐμφερές· ἴδε ὡς λαμπρὸν λίαν τὸ παραπλήσιον· καὶ οὗτος ἐξ ἰδίας διανοίας, ἐξ οἰκείας προαιρέσεως ἐμφανῶς, οὐκ ἀναγκασθεὶς, οὐ τυραννηθεὶς τὰ τοῦδε συντίθησι· καιροῦ δ' αὖθις νῦν εὐθέτου λαβόμενος τὴν ἐναντίαν βαδίζει, καὶ πρὸς ἀνατροπὴν ἐκείνων ὁρμᾷ, τὸ τοῖς καιροῖς

ἅτε συντεῖνον σκοπῶν, οὐ τῆς ἀληθείας ἀντιποιούμενος· ἀλλ' οἶμαι τὸν ὀρθὸν τὸν ζῆλον καὶ ἀπαρέγκλιτον, μὴ κἀνταῦθα βυθοῖς ἀφανείας παραπέμψαι τὴν δεινὴν ἐκείνην τὸ κατ' ἀρχὰς ἀναστάτωσιν, ἡνίκα σοι σὺν τοῖς καθυπερτεροῦσιν ἑταίροις τὰ πρὸς ἰσχὺν κυματοῦνται πλήθη, καὶ λαοὶ δημώδεις ἀνάπτονται, μιαιφόνων ἀνδρῶν συστοιχίας ἐν μέσοις αὐτοῖς περιφέροντες· καὶ σεισμὸς ἄλλος τῆς καθ' ἡμᾶς οἰκουμένης ἐγείρεται, τοῖς τὰ τὸν ἀρχιερατικὸν ἀποπληροῦσι κατάλογον ἡ πολυμιγὴς σύῤῥοια τούτων, ὅσα καὶ σφίσι καταδίκοις ἐπίκειται, φοβερὸν ἀπειλοῦσα, εἰ μὴ τὰ δοκοῦντα σοι καὶ τοῖς κατὰ σὲ διαπράξαιντο· οἷς καὶ αὐτοῖς ὁπόσα σοι μετ' οὐ πολὺ ἐπενήνεκται, οὐδ' ἂν ὅλος αἰὼν ἀμαυρώσειεν· οἶμαι σε ταῦτα μὴ ἂν οὐχ οὕτως ἐπιχειρῆσαι, μὴ γεγονέναι διϊσχυρίσασθαι· καὶ ὁ ἐκ τούτων καὶ τῶν τοιούτων ἐνεργουμένων σοι καὶ τοῖς ὁμοπνόοις ὡς ἐκ προσώπου τοῦ ποιμενάρχου λίβελλος οὕτω σχεδιασθεὶς, τί τὸ παράπαν, ἢ πρὸς τὰ τοῦ τρόπου σοι συμβαλεῖται, τὴν ἴσην αὐτοῖς ἐμφέρειαν ὡς ἐντεῦθεν κομιουμένῳ, ἢ πρὸς ἅπερ ἐνταυθοῖ προτίθης εἰς δοκιμὴν, μὴ γνώμης αὐθαιρέτου προβὰς οὑτωσὶ, μὴ προαιρέσεως οἰκειοθελοῦς; cod. f. 100. b.

κϛ'. Εἰ δὲ καὶ πᾶν ἐν αὐτῷ παραδράμοιμι, δέον καὶ γὰρ, ὅσον συκοφάντης αὐτὸν ἑαυτοῦ τὸν ἱερὸν ἀρχιθύτην εἰσάγει· καὶ ταῦτα δόγμασι τοῖς περὶ θεοῦ· ἐπείπερ οἱ αὐτοῦ λόγοι τὰ αὐτῷ λεγόμενα παριστῶσι· καὶ ὅσον λοιπὸν, τίνας ἂν εἰς τοῦτο κανόνας δοίης, οἷς καθ' ἑαυτοῦ καθαίρεσιν ἀποφαίνεσθαι τὸν μέγαν ἀναγορεύει· ποίους ἂν θεσμοὺς ἐκκλησιαστικοὺς οὕτω παρακελευομένους παράσχῃς, ὁ τὴν τούτων τήρησιν ἀσφαλής; ἢ τίνας ἂν ἔχῃς ὅτε δεῖξαι τοιαύτην ἀπόφασιν οἱῳδήτινι προσώπῳ ἐπιψηφιζομένους, καὶ μὴ σφίσιν ἀρκουμένους ἰσχύϊ τῇ ἐπ' αὐτῇ, ἀλλὰ καὶ τοῦ καθ' οὗ λαμβάνοντας ἐγγράφως τὰ πρὸς βεβαίωσιν, τοιούτοις καὶ ταῦθ' ὡς ἐνταῦθα καὶ δράμασι καὶ διανοήμασιν, ἴσως ἂν οὐκ αὐτὸς, οὐ γάρ σοι καθῆκον· ἕτερος μὲν οὖν φαίη πρὸς ἣν ἑαυτῷ σύνοιδεν ἀλήθειαν εἰωθὼς ἀπευθύνεσθαι, θάνατος ἔδει μᾶλλον αἱρεθῆναι, τοιούτων τοῖς ἀνάπταις συσκευασθέντων, ἤ τι τῶν ἀβουλήτων γενέσθαι λόγοις καὶ μάλιστα τοῖς περὶ θεοῦ· ἀλλὰ τοῦθ' ὡς οὕτω τῷ μεγάλῳ καὶ ἡμῖν πρὸς γνώμης ἀμεταθέτου, ἔδειξεν ἡ ἐν ἀνακτόροις μετὰ ταῦτα παῤῥησία, καὶ ὁ ἐπὶ μέσον τοσούτων διαλογικὸς ἐκεῖνος ἀγών· καὶ ὅσοις ἐκεῖθεν εἰς καταδίκην ἀεὶ περιστοιχιζόμεθα· τηνικαῦτα δ' ἀπειπεῖν ἐγεγόνει, καὶ τοῖς ἀντιδιατιθεμένοις ὑμῖν πρὸς τὰ βουλητέα ὑποπεσεῖν· ὅτι μὴ πάροδος ἦν ὅλως ὁρωμένη τῆς διὰ λόγων ἁμίλλης, ἐπὶ διαλαλιαῖς καὶ ὁμιλίαις ταῖς ὑπὲρ ἀληθείας, ἀλλὰ θροῦς τὸ πᾶν καὶ φορά τις ἄσχετος δήμου πρὸς ἔργα φόνου, τῆς ῥηθείσης ἄτερ κατεξετάσεως· ἀμέλει καὶ ταύτην περισπούδαστον ἔχων ὁ τοῦ θεοῦ ἱεράρχης, πρὸς μικρόν τε παρὰ τὴν εὕρεσιν αὐτῆς ὑπενδοὺς, ἡνίκα σχεῖν ὁπωσοῦν ἠδυνήθη, πάντως οὐκ ἐν μεταβολαῖς, οὐκ ἐν ἀλλοιώσεσιν, ἀλλ' ἐν αὐτοῖς καὶ καιροῖς καὶ προσώποις καὶ πράγμασι· λόγισαι ὁ σοφὸς, εἰ τοῦ λοιποῦ ἃς ἔμελλεν εἰσπράττεσθαι δίκας, ὡς κομπάζων ὑπάρχεις, cod. f. 101. a.

ἐμβριθῶς σοι τετελεσμένας εἰς φροντίδα θέμενος εἴη· εἰ τὰς ἑξῆς ἐπενηνεγμένας σοι πολυελίκτους τῶν τιμωριῶν, εἰ καὶ αὐτὸν εἰ ἐπέλθῃ κίνδυνον τὸν πανύστατον, οὕτω καὶ ὁ λίβελλος ὡς ἐπιτάττων ἧς δοκιμασθησόμενος, πολλήν σοι τὴν ἰσχὺν πρυτανεύσει πρὸς τὸ σκοπούμενον.

κζʹ. Ἥκει δ' ὁ λόγος ἤδη καὶ πρὸς τὰς ἐκθέσεις τῶν κεφαλαίων, οἷς αἱ καθ' ἡμῶν ἀποφάσεις, ἑνὶ πρὸς τῷ δεκάτῳ ποσουμένων τῷ ἀριθμῷ· σκόπει καὶ γοῦν ὁ τούτων ὀρθοβάμων διαιτητής· τῷ πρώτῳ μὲν ὁ Γεννάδας τὰς ἡμῶν κλήσεις τοῦ τε πατριάρχου, τοῦ χαρτοφύλακος, καὶ ἐμοῦ σὺν τοῖς ἐπωνύμοις προτεταχώς. "Τοῖς δεῖνα φησὶν ὅτι ἐξ ἡμῶν γεγόνασι, καὶ τοῖς ἡμετέροις ἐνε„τράφησαν ἤθεσί τε καὶ δόγμασι, καὶ οὐκ ἐνέμειναν τούτοις ἐγγενέσιν οὖσι „καὶ πατρίοις αὐτῶν, καὶ διὰ παντὸς τοῦ χρόνου βεβαιωθεῖσιν, ἐξ οὗ Χρι„στὸς ἤρξατο καταγγέλλεσθαι καὶ ἐς δεῦρο· ἀλλὰ τούτων μὲν καθ' ὧν οὔτε „ᾅδου πύλαι ἴσχυσαν, οὔτε μὴν ἰσχύσουσιν, ὑπερεῖδον, οὐκ οἶδ' ὅτι καὶ „καταγνῶναι, ἢ μὴ ἐπαινεῖν αὐτῶν ἔχοντες· δόξαν δὲ ἀντεισήγαγον ἄγνω„στον παντάπασι τοῖς πατράσιν αὐτῶν, μήτε τὸ ἀπὸ τοῦ χρόνου τῶν κει„μένων αἰδεσθέντες πρεσβεῖον, μήτε μὴν τοὺς τούτων ἐκφάντορας, οἳ καὶ „τὰ τοῦ πνεύματος οὐκ ἄλλως ἐλάλουν, ἢ πλήρεις γεγονότες τοῦ πνεύμα„τος· τούτοις οὖν ὅτι διαφθαρέντες τοσοῦτον, ἔκτοπα καὶ πόῤῥω τῶν πα„ραδεδομένων ἐπὶ λύμῃ καὶ καταστροφῇ τῆς ἐκκλησίας ἐφρόνησαν· εἶτα τῆς „μανίας ταύτης χρόνον δή τινα μετεβάλλοντο ἑαυτοὺς ἐπαράτους ἔσεσθαι „λόγοις τε καὶ πράγμασιν ἐπὶ μυρίας ὄψεως καὶ ἀκοῆς ἀποφηνάμενοι, εἰ μὴ „ὁλοσχερῶς εὑρίσκοιντο τοῦ λοιποῦ τὰ πάτρια στέργοντες· καὶ εἰς οὐδὲν „ἀλλότριον τῆς ἐκκλησίας ἐξελκόμενοι φρόνημα, καὶ οὐδὲ τοῖς ἑαυτῶν ἐπὶ „ταύτῃ τῇ μετανοίᾳ χειρογράφοις ἐνέμειναν· ἀλλὰ μετενόησαν, ὅτι δὴ καὶ „μετέγνωσαν, καὶ πάλιν εἰς τὴν προτέραν ἀποστασίαν ἐξέκλιναν, ὥσπερ φύ„σεως ἀποστάτιδος λαχόντες, καὶ πρὸς τοὺς ὅρους τοὺς πατρικοὺς ἀσυνθέ„του· τούτοις ἀποστραφεῖσιν ἀποστροφὴν πονηρὰν, καὶ τὸν ἀπὸ τῆς ἰδίας „ἐκκλησίας μακρυσμὸν ἀγαπήσασιν, ἣν καὶ αὐτοὶ ἑαυτοῖς, εἰ τοῦτό ποτε „τολμήσουσιν ἐπήγαγον ψῆφον, ἐπάγομεν καὶ ἡμεῖς ἀποτέμνοντες αὐτοὺς „οὕτως ἔχοντας τῆς τῶν ὀρθοδόξων ὁλομελείας, καὶ ἀποκηρύκτους τῆς τοῦ „θεοῦ ἐκκλησίας καὶ τῆς ποίμνης ποιούμεθα.„

cod. f. 101. b.

κηʹ. Ἐνταῦθα σχεδὸν πρὸς ἅπαν τῶν οὕτω προτεθέντων ἀπολελογημένους, οἷς τῷ ταῦτα φωνασκοῦντι μικρὸν ἀνωτέρω τὴν ἐκθρέψασαν ἡμᾶς ὡσαύτως ἐκκλησίαν ἠθετηκέναι λογολεσχοῦντι πρὸς ἔλεγχον ἀντιπαραθήκαμεν καὶ οἷς προσεχῶς ἐπὶ τῷ καταστρωθέντι λιβέλλῳ διήλθομεν· τῶνδε γὰρ ἀμφοτέρων ἡ αὐτὴ κἂν τοῖς ὧδε τοῦ ἐπὶ κενῆς ὕθλου διάνοια· ἐχρῆν ἄρα τοῦτο δεδηλωκότας, καὶ τόδ' ἐνσημηναμένους προσέτι τῆς συκοφάντιδος αὐτοῦ γλώττης τυγχάνειν, τὸ ληρωδεῖν ἐπὶ μυρίας ὄψεως καὶ ἀκοῆς ἐπαράτους ἡμᾶς θεῖναι· οὐ γάρ ἐστι τὸ παράπαν τοῦθ' οὕτως ἔχον μηδὲν πλέον ἐρεῖν· ἀλλ' ἐπεὶ τοὺς ἐκφάντορας τῶν θείων νενευκὼς ἐστιν ὁ ὑπερνεφὴς διομολογῆσαι,

cod. f. 102. a.

ὡς τὰ τοῦ πνεύματος οὐκ ἄλλως ἐλάλουν, ἢ πλήρεις γεγονότες τοῦ πνεύματος, ἀμυδράττα κἂν τούτοις φᾶναι προάγομαι· πῶς ὁ ταῦτα λέγων σφᾶς ἀκούων ἐκ πατρὸς ὑπάρχειν καὶ υἱοῦ τὸ πνεῦμα θεολογοῦντας ἐκ τῆς τοῦ πατρὸς καὶ υἱοῦ οὐσίας διευκρινοῦντας, δι' υἱοῦ τὴν ἐκπόρευσιν διατόρως ὑψηγοροῦντας, τῆς δὲ τὰ τῆς ἑρμηνείας κατὰ λέξιν διασαφοῦντας, οὐδὲ διαστέργων * καὶ ἐμμένων ὡς ὑπὸ τοῦ πνεύματος ἐμπνευσθεῖσι τοῖς εἰρημένοις· ἀλλὰ τὴν ἐντεῦθεν κραταίωσιν συνορῶν, καθ' ἧς ἀπαυθαδειασάμενος οὕτω πραγματείας ἐφάνη, τοῖς μὲν τούτων ὡς τὸ πάντη καθαρὸν τῆς ἐννοίας περιστρέψῃ καὶ ἀλλοιώσῃ, ἐπινοίας οἰκείας ἐπὶ τῇ ἐξηγήσει δῆθεν πλάττει καὶ ἀφορίζει, ἃς οὐκ εἴδησαν οἱ πατέρες ἡμῶν τοῖς δὲ σφῶν ὅσα καὶ λεγόντων ἐξηγουμένων, μήτοι γε συνόλως οὐκ ἐπιστροφὴν ποιεῖται, ἀλλὰ καὶ οἰκείας αὖθις σημασίας ἐξευρημένος πρὸς ἔπος ἀντιθέτους καὶ ἀντιδόξους, ὀρθὰς ταύτας ὀνομάζειν οὐχ ὑποπτήσσει κατὰ τῶν παραδεδομένων σφίσι διαφανῶς, πῶς τινας αὐτῶν διαῤῥήδην τῆς ῥωμαϊκῆς ἐκκλησίας ὑπεραπολογουμένους εἰς αὐτὸ τὸ ταύτῃ κατὰ ῥῆσιν ἐκφωνούμενον ἀπαραποιήτως, καὶ ταῖς γραφικαῖς χρήσεσι σύμφωνον ἀποφαινομένους οὐ βαθείᾳ σιγῇ γεραίρει· πῶς, ἵνα μὴ ἀπαριθμοίην καθέκαστα πρὸς ταῦτα καὶ πολλῷ τῶνδε πλείω τῶν θεολήπτων νομοθετῶν τὰ δοκοῦντα, καὶ τάσσων, κἀκ τῆς ἐνεργείας ἔτι τούτων ἀγχόμενος, φωνὴν ἐκείνην ἐν μέσοις δικαστηρίοις ἐκρήξας ὤφθη δυναστείᾳ νενευρωμένος, τὴν ὅτι γνήσιον μὲν τοῦ Νύσσης πόνημα τὰ μακρίνεια, πλὴν τῇ ἐκκλησίᾳ καθέστηκεν ἀπαράδεκτον, ἐντεῦθεν ἐμφανῶς ἄγαν ἐπὶ τοῦ μέσου καὶ τὰ τῶν λοιπῶν θεηγόρων μνημονευθέντα, τὸ ἀπαράδεκτον ἔχειν ἐγκελευόμενος, εἴ γε παρὰ ταῦτα τοῦτ' εἰς φῶς ἐξενέγκας εἴη, εἰ μὴ πρὸς τὸ ἀρέσκον αὐτῷ διόρθωσιν λάβοιεν.

cod. I. m. δι, 2. διε.

cod. f. 102. b.

κθʹ. Εἶθ' οἱ μὴ δίχα τοῦ πνεύματος φθεγγόμενοι τὰ τοῦ πνεύματος ὀρθῆς ἐννοίας περὶ τοῦδε δεόμενα παρέδοσαν ῥήματα, οἱ μὴ ἄλλως ἢ αὐτοῦ πλήρεις γεγονότες, τὰ αὐτοῦ λαλοῦντες, ἄλλως τῶν σφετέρων λόγων τὰ περὶ αὐτοῦ διηρμηνευκότες εἶεν, ἢ τὸ τῆς δεούσης ἀπαιτεῖ διανοίας ἰθύτατον, οἱ πνευματοφόροι βίβλους διαπεπονήκασιν, εἴγε βίβλος τὰ μακρίνεια τοῦ τοσούτου τὰ θεῖα, αἷς τὸ ἀποδεδοκιμασμένον τῇ ἐκκλησίᾳ ἐψήφισται· καὶ πῶς ἂν ὅλως ταδὶ συμβαίη, ἢ ποία τις ἤδε ἡ ἐκκλησία, καὶ ποῦ ποτε τοῦτο δράσασα φαίνεται; ἀλλ' εἰ μὲν αὐτὴν εἰς ἑαυτόν, ὁ τὴν τόλμαν πολὺς περιΐστησιν, ἐπεὶ καὶ ἄλλοτε τοῦτο ποιῶν ὦπται, πλειστάκις ἀντὶ τοῦ ἐρεῖν ὁ δεῖνα φησιν, ἰδιαζόντως περὶ ἑαυτοῦ, ὁ δεῖνα διαμηνύεται, ἡ ἐκκλησία λέγει καὶ διαμηνύεται μεγαληγορῶν, ὡς κἀνταῦθα τῶν κεφαλαίων ἀρχόμενος ταυτοτρόπως συντίθησιν· ὅθεν καὶ ὁ τῶν εὐσεβῶν ἅπας σύλλογος ζήλῳ δικαίῳ χρησάμενοι κατ' αὐτῶν οὕτως ἀποφαινόμεθα φάσκων· εἶτα τοὺς τῆς ἐκκλησίας λογάδας, ὡς τοὺς ἑτέρους ἐάσω καθεκάστην τυραννίσι καθυποβάλλων, ἵν' εἰς τοῦτο καὶ ἄκοντας συνωθήσειεν· ἐξ ὧν οὐκ ἀξυμφανὲς, ὡς εἰς ἑαυτόν τε καὶ τοὺς συμμύστας ἅπαν πλήρωμα περιγράφει τῶν εὐσεβῶν· οὐ καὶ-

cod. f. 103. a. νὸν ταύτην δῆτα τὴν ἐκκλησίαν τῶν πατρικῶν οὕτω πονημάτων καταφρυάττεσθαι, εἴπερ καὶ κατὰ τῶν σφίσι θεολογηθέντων τοῖα νεανιεύεται· εἰ δ' εἰς τὴν ἀρχῆθεν ἄχρις αὐτοῦ κατιοῦσαν ἀποτεινόμενος τήνδε διαγορεύει, τίς οὕτω τολμηρὸς, τίς οὕτως αὐθάδης, ὡς τοῦθ' εὑρεῖν ἐξειπεῖν, ἢ συνιδεῖν ὁτεδήποτε; τίνες δ' οὕτως ἐχόντων τουτωνὶ καταδήλως, οἱ τοὺς πατέρας, τοὺς σωτῆρας, ὑπὸ τοῦ πνεύματος κινουμένους τὰ τοῦ πνεύματος ἐγχαράττειν, καὶ μηδὲν ὅτι μὴ παρ' αὐτοῦ διαγγέλλειν, οὐ ψιλῶν ἄχρι λόγων, ἀλλ' ὁλοσχερεῖ διαθέσει καὶ φρονοῦντες εἰλικρινῶς καὶ κηρύττοντες, οἱ σφῶν ἐπὶ τοῖς αὐτῶν ὡς ἐῤῥέθη κατεπαιρόμενοι, ἢ πρὸς ἅπαν οἱ ἐξεχόμενοι; τίσι δὲ καὶ τὸ ὑπεριδεῖν ὧν οὐ κατίσχυσαν ᾅδου πύλαι, οὔτε μὴν κατισχύσουσι, τό τε καταγνῶναι, ἀλλὰ μὴ ἐπαινεῖν, κἀπὶ τούτοις ἡ ἔνδικος ἐπιτίμησις, ἢ μερίδος τῆς ὀρθόφρονος ἀλλοτρίωσις, καὶ ἁπλῶς ὅσα τῷ περὶ οὗ ὁ λόγος κεφαλαίων ἐμπεριείληπται, πάντως ἐναργὲς καὶ ἐπίοπτον, οἷς μὴ τὸ εὐθὲς λόγοις προσπαθείας ἀπόβλητον.

λʹ. "Οὐκοῦν καὶ πάνυ φιλαλήθως καθ' ἑαυτοῦ τὰς ἃς ἐστὶ καθ' ἡμῶν ἀποφάσεις ψευδηγορῶν ἐπιτασσόμενος καὶ πρὸς τὸ τῶν κεφαλαίων δεύτερον ἀποδύεται καὶ φησί· "τῷ αὐτῷ σὺν τοῖς μετ' αὐτοῦ τοσοῦτον πρὸς τὴν ἀπο-„ στολικὴν ἀποθρασυνομένοις ὁμολογίαν, ὥστε παρεμβάλλειν ἐν αὐτῇ, ἃ μήθ' „ οἱ διδάσκαλοι τῆς ἐκκλησίας παρέδωκαν, μήθ' ἡμεῖς παρ' αὐτῶν παρελ-„ λάβομεν τὴν προαναγεγραμμένην ψῆφον τε καὶ καταδίκην ἐπάγομεν.„ Ἐφεξῆς ἐπισυνάπτων τὰ τῆς αὐτῷ καταλλήλως ἐχούσης εὐθύνης ὡς προεκτέθειται

cod. f. 103. b. ῥήματα, καὶ ταῦτα περ ἐφ' ἑκάστῳ τῶν αὐτοῦ κενοφωνημάτων καθ' ἑαυτοῦ συνείρων ἐπὶ τέλους, οἱονεί πως ἐπῳδοὺς καὶ ἐπάσματα· θαυμάσῃ δ' ἄν τις ὅπως ὁ οὕτω σοφὸς ἅπερ εἰρηκώς ἐστι τῷ προτέρῳ σύνεγγυς οὐ μακρὰν, νῦν εἰς δεύτερον ἀποτάττει κεφάλαιον, ὡς εἰ τὰ ληθάργου πέπονθεν ἀτεχνῶς· ἀλλ' εἰ μὲν συκοφαντῆσαι βεβουλημένος, εἶτα τῷ προδήλῳ κατησχυμένος, οὕτω δεῖν ἐκθέσθαι νενόμικεν, ἢ τέλεον ἐχρῆν ἀποστῆναι, ἢ μὴ καινὸν ὂν, ἅτε δὴ καὶ μάλιστα εἰωθὼς συκοφάντιδα γλῶσσαν καθ' ἡμῶν ἀφιέναι, ἐντελῶς ἔδει φράσαι καὶ καθαρῶς παραστῆσαι τὸ πρὸς βουλήσεως· ἐπεὶ δ' οὕτως εἰπόντι τὰ λεχθέντα, ὡς προσεχῶς διαληφθέντα προσεχῆ καὶ τὸν ἔλεγχον εἴληφεν, εἰς ἕτερον αὖθις ἰτέον τὸ τῇ τάξει τρίτον ἐνοπτριζόμενον.

λαʹ. Ὃ δὴ καὶ ὅ τεταχὼς οὕτω συντίθησιν. "Τοῖς αὐτοῖς λέγουσι μὲν „ ὅτι ὁ πατὴρ αἴτιος ἐστι τοῦ πνεύματος διὰ τοῦ υἱοῦ· καὶ μὴ ἄλλως αὐ-„ τὸν αἴτιον εἶναι νοοῦσι τῆς τοῦ πνεύματος ὑποστάσεως, εἰ μὴ διὰ τοῦ υἱοῦ „ τὴν ὕπαρξιν καὶ τὸ εἶναι παρέχει τῷ πνεύματι, ἐξ οὗ καὶ συναίτιος κατ' „ αὐτοὺς ὁ υἱὸς συνάγεται, καὶ εἰς τὸ εἶναι τοῦ πνεύματος αὐτῷ συμβαλ-„ λόμενος· πίστιν δὲ τοῦ λόγου τούτου κομίζουσι τὴν τοῦ θείου Δαμασκη-„ νοῦ ῥῆσιν τὴν, ὅτι προβολεύς ἐστι τοῦ ἐκφαντορικοῦ πνεύματος ὁ πατὴρ „ διὰ τοῦ υἱοῦ, ἥ τις καὶ οὐδαμῶς εἰς τοῦτον φέρει τὸν νοῦν, ἀλλὰ βού-„ λεται τρανῶς τὴν δι' υἱοῦ τοῦ πνεύματος παριστάνειν φανέρωσιν· ἐπεὶ ὁ

„ αὐτὸς Δαμασκηνὸς οὐκ ἂν ἐν αὐτῷ τούτῳ τῷ κεφαλαίῳ μόνον αἴτιον ἐν „ τῇ τριάδι τὸν θεὸν καὶ πατέρα ἐδίδασκε· καὶ διὰ τῆς τοῦ μόνος φωνῆς „ ἀφῃρεῖτο τὴν αἰτίαν τὰς λοιπὰς ὑποστάσεις· οὐδ᾽ ἐν ἑτέροις πάλιν, υἱοῦ „ μὲν πνεῦμα λέγομεν τὸ πνεῦμα τὸ ἅγιον, ἐκ τοῦ υἱοῦ δὲ αὐτὸ οὐ λέγο- „ μεν, συμβαίνειν γὰρ ἀλλήλοις ταῦτα οὐ δύναται· πλὴν τούτοις οὕτω μὴ „ πρὸς τὸν πατρικὸν σκοπὸν τὰς πατρικὰς ἐκδεχομένας φωνάς, πρός δέ τινα „ ἕτερον καθάπαξ ἀπηγορευμένον τοῖς πατράσιν αὐτοῖς, τὴν προαναγεγραμ- „ μένην ψῆφον τε καὶ καταδίκην ἐπάγομεν.„ Καθεξῆς ἐπισυνάπτων τὰ τῆς αὐ- cod. f. 104. a. τῷ καταλλήλως ἐχούσης ἀποφάσεως ῥήματα· ἰδοὺ γοῦν καὶ ἃ μήθ᾽ οἱ διδά σκαλοι τῆς ἐκκλησίας παραδεδώκασι, μήθ᾽ ἡμεῖς παρ᾽ αὐτῶν ἐλάβομεν, ἤτ᾽ ἄγνωστος παντάπασι τοῖς πατράσι δόξα, μετὰ τὸ κεφαλαιώδεις ὅλας λοι- δορίας ἐξυφανθῆναι καθ᾽ ἡμῶν ἐκπεφώνηται, τὸ τὸν πατέρα δι᾽ υἱοῦ τοῦ πνεύ- ματος αἴτιον λέγεσθαι παρ᾽ ἡμῶν· πίστιν δὲ τοῦ λόγου τούτου κομίζεσθαι τὴν τοῦ θείου Δαμασκηνοῦ ῥῆσιν, τὴν, ὅτι προβολεύς ἐστι τοῦ ἐκφαντορι- κοῦ πνεύματος ὁ πατὴρ διὰ τοῦ υἱοῦ.

λβ΄. Καὶ ἡμῖν μὲν τόση τις ἡ ἐντεῦθεν πίστις, ὡς τοῦτ᾽ αὐτὸ τρανοῦσαν ταύτην εἰδέναι, καὶ μὴ τοσύνολον ἕτερον οὐδαμῶς· τόση τις ἡ ἰσχὺς, ὡς τήνδε σαφῶς γινώσκειν τὴν αἰτίαν ἰδιαζόντως παριστάνειν τοῦ πνεύματος· καὶ μή τι τὸ παράπαν ἄλλο μηδέν· ἐπειδὴ κοινῶς μὲν ὁ πατὴρ αἴτιος προσ- ώποιν ἀμφοτέροιν τοῖν ἐξ αὐτοῦ, ἰδιαζούσαις δὲ φωναῖς τοῦ μὲν τῇ γεν- νήτωρ τοῦ δ᾽ αὖθις τῇ προβολεὺς, καὶ τῷ βουλομένῳ τὴν αἰτίαν οὕτω δη- λῶσαι τοῦ πνεύματος, οὐκ ἔστιν ἄλλως ἢ τοῦτο καὶ φρονήσαντα καὶ φθεγ- ξάμενον· ἀλλ᾽ αἰτεῖ κατὰ λέξιν ταύτην ὁ ἀντιβαίνων, ὡς εἴ γε μὴ καὶ πλέον εἰς ἔκφανσιν εἶχεν ἐκ τῆς ῥηθείσης εἰλικρινῶς τὸ διάφορον· πλὴν ἐπείπερ τοῦ τὰ αὐτὰ παράγειν, ὁ περὶ τὰ αὐτὰ στρεφόμενος πρόξενος ὁ φιλαίτιος, οὐκ ὀκνηρὸς ὁ τῶν Νυσσαέων φωστὴρ φανεῖται τὰ περὶ αὐτῆς καὶ πάλιν πα- ραθεῖναι πλατύτερον πρὸς Ἀβλάβιον οὕτω θεολογῶν. "Τὸ ἀπαράλλακτον τῆς „ φύσεως ὁμολογοῦντες, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνού- „ μεθα· ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν, τῷ τὸ cod. f. 104. b. „ μὲν αἴτιον εἶναι πιστεύειν, τὸ δὲ ἐκ τοῦ αἰτίου, καὶ τοῦ ἐξ αἰτίας ὄντος· „ ἄλλην πάλιν διαφορὰν ἐννοοῦμεν· τὸ μὲν γὰρ, προσεχῶς ἐκ τοῦ πρώτου· τὸ „ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου· ὥστε καὶ τὸ μονογενὲς ἀναμφίβολον „ ἐπὶ τοῦ υἱοῦ μένειν, καὶ τὸ ἐκ τοῦ πατρὸς εἶναι τὸ πνεῦμα μὴ ἀμφιβάλλειν, „ τῆς τοῦ υἱοῦ μεσιτείας, καὶ ἑαυτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τὸ πνεῦ- „ μα τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως μὴ ἀπειργούσης.„ Ἐντεῦθεν τηλε- φανὲς τῷ μὴ πρὸς τὸ φῶς ἐθελοκάκοις ὁρμαῖς μυωπάζοντι, ὡς ἐκ μὲν τῆς αἰτίας, ἣν καὶ πρῶτον λόγοις τοῖς αὐτοῖς κατωνόμασεν, ὁ υἱὸς προσεχῶς προδιηυκρινημένος αἰτιατός· ἐξ αὐτῆς δὲ διὰ τοῦ υἱοῦ τὸ θεῖον πνεῦμα καὶ πανσθενὲς προδιηρμηνευμένον αἰτιατόν· καὶ ὡς ἐν τούτῳ μόνῳ τῷ αἰτίῳ δη- λαδὴ καὶ αἰτιατῷ τὸ τῶν προσώπων τριττὸν διακρίνεται· ἄμφω μὲν τοῦ

πατρὸς ὡς ἐξ αἰτίας αὐτοῦ πεφυκότα, θατέρου δ' ἑκατέρων τὸ ἕτερον, τῷ ἐξ αὐτῆς διὰ τοῦ υἱοῦ πνεῦμα εἶναι τὸ παναλκές· καὶ εἰ μὴ κατὰ λέξιν ἐνταῦθα πρὸς τῇ ἀπηρτισμένῃ διανοίᾳ αἴτιος, διὰ τοῦ υἱοῦ τοῦ πνεύματος ὁ πατὴρ κατιδέτω διαγνώμων ὁ ἀῤῥεπής· ἀλλὰ πῶς ἄν τις μυριάκις τοῖς ὡς ἀληθῶς θεοπνεύστοις ῥήμασι τούτοις τοῦ οὐρανομήκους πατρὸς προσέχων, οὐ καταφωτίζοιτο ἐπὶ μᾶλλον, τὸ πᾶν τοῦ ζητήματος ἐν αὐτοῖς εὑρίσκων, ὡς ἀμφιδοιάζειν ἔχειν ἐν μηδενί· "καὶ ἡμεῖς μὲν οὕτως· ὁ δέ γε μὴ δόξης ἀγνώστου τῆς δὲ τῶν ἁγίων ἀντιποιούμενος, ὁποῖα ἡ προβολεύς φησι ῥῆσις οὐδαμῶς εἰς τοῦτον φέρει τὸν νοῦν, ἀλλὰ βούλεται τρανῶς τὴν δι' υἱοῦ τοῦ πνεύματος περιστάνειν φανέρωσιν.

λγ'. Κἀγὼ μὲν φανεροῦσθαι δι' υἱοῦ τὸ πνεῦμα, οὐκ ἂν ἀμφιβάλλοιμι· εἰ γὰρ δι' υἱοῦ προβολεύς ἐστιν αὐτοῦ ὁ πατὴρ, καὶ δι' υἱοῦ ἐκπορεύεται, cod. f. 105. a. καὶ δι' υἱοῦ χορηγεῖσθαι, καὶ δίδοσθαι, καὶ φανεροῦσθαι, ὁμολογούμενον· πλὴν οὐκ ἐπειδὴ ταῦτα τὴν οἰκείαν ἡ ῥῆσις σημασίαν ἀπόλλυσιν· ἀλλ' ὅτι περ αὕτη μᾶλλον, κἀκεῖνα προσφυῶς εἰρῆσθαι πεφύκασιν· ἢ δειξάτω ὁ οὕτως οἴκοθεν ἐξηγούμενος, εἰ ἔστι που τις τῶν πατέρων ὅλως ἕτερον νοῦν ἐπὶ τῇδε παραδιδοὺς, ἢ λαμβάνων, ἥπερ ἐστὶν αὕτη δηλοῦσα τὸ διάφορον εἰσαεὶ τῆς αἰτίας τοῦ πνεύματος· αὐτὸς μὲν οὖν ὁ εἰρηκὼς μετὰ τὸ γεννητικὴν καὶ προβλητικὴν τὸν πατέρα φάναι πηγὴν, συνελὼν ἵν' εἴπω, πάλιν φησὶν· "ἔστι νοῦς, λόγου ἄβυσ„ σος, λόγου γεννήτωρ, καὶ διὰ λόγου προβολεὺς ἐκφαντορικοῦ πνεύματος·„ ἐννοίας ἐνταῦθα παρείσδυσις ἄλλης παρὰ τὴν ὁμολογουμένην τε καὶ κοινὴν, ἔστιν ἑτέρως ἐκλαβέσθαι, τὸ γεννητικὸν καὶ προβλητικὸν τῆς πηγῆς· καὶ αὖθις τοῦ γεννήτωρ καὶ προβολεὺς, ἥπερ εἰς τὸ τῆς αἰτίας διάφορον; εἰ τὸ ἓν οὐκ εἰς τοῦτο, οὐδὲ τὸ ἕτερον, καὶ λοιπὸν δογμάτων ἄλλων γενέσθω θέσις, καὶ θεολόγων ἑτέρων εὑρεθήτω κατάλογος· ἄτοπα συνάγει τὸ τῆς ἀτοπίας ἀφίδρυμα, συμβαλλόμενον κακεμφάτως εἰς τὸ εἶναι τοῦ πνεύματος τὸν υἱὸν τῷ πατρὶ φάσκει νοεῖσθαι· εἰ δι' υἱοῦ ἡ αὐτοῦ ὕπαρξις ὁμολογοῖτο, εἰ ὁ προβολεὺς δι' υἱοῦ, αἴτιος δι' υἱοῦ καταγγέλλοιτο· καὶ οὐδὲ συνιδεῖν ἔχει τῇ κακίᾳ λυσσῶν, ὡς τοῦτ' αὐτὸν ἐπακολουθήσει, κἀπὶ τῆς φανερώσεως, κἀπὶ τῆς ὑψηλοτέρως αὐτῷ προσέτι ἐπινοηθείσης ἀϊδίου ἐκλάμψεως, ἐπειδὴ δι' υἱοῦ· καὶ ὁ μὲν καθ' ἑαυτοῦ ταῦτα συλλέγων οὐ συνορᾷ· ἡμεῖς δ' ὡς φωνὴν οἴδαμεν κατέχειν τὴν προβολεὺς, τοῖς θεηγόροις ἑπόμενοι, καὶ τῇ παρ' αὐτῶν τῶν ὀρθοδοξεῖν αἱρουμένων δόξῃ κοινῇ, οὕτω σφίσιν ὡδηγημένοι, καὶ τὴν cod. f. 105. b. δι' υἱοῦ ῥῆσιν οὐκ εἰς ἔμφασιν τοῦ συμβάλλεσθαι τῷ πατρὶ τὸν υἱὸν ἴσμεν εἰρῆσθαι κατὰ τὸ δόξαν τῷ συνθεμένῳ· πόῤῥω γὰρ θεοῦ τὰ τῆς ἀτελοῦς ὑπονοίας σὺν τοῖς κακοδόξως ὑπονοοῦσιν, ἀλλ' εἰς τράνωσιν φυσικῆς μεσιτείας ἁπανταχοῦ κατα τὸν ἀνωτέρω διευκρινοῦντα πατέρα.

λδ'. Καὶ ὡς ἡ θεολόγος Βασιλείου ἀκρότης εἰς ὁμολογίαν αἰτίας τῆς προκαταρτικῆς, κατασκευάζων μέν τοι μετὰ τὰς οὕτως ἐχούσας ἀτοπίας ὁ πολὺς εἰς ταῦτα, μὴ τὸν αἴτιον σημαίνειν τὸ προβολεὺς, τὸ μόνος αἴτιος εἰς

τὸ μόνος αἴτιος εἰς παράστασιν τοῦ λόγου λαμβάνει· καὶ τὸ ἐκ τοῦ υἱοῦ δὲ τὸ πνεῦμα οὐ λέγομεν, ἀμελεῖ τὸ μοναδικὸν εἰς σημασίαν ῥήσεως ἐχούσης τῆς λελεγμένης, καὶ κοινῇ ὁμολογουμένον ὡς εἴρηται· τοῦ τε Νυσσαέων μάλα διηρθρωμένως ἐξ αἰτίας διὰ τοῦ υἱοῦ τὸ πνεῦμα θεηγοροῦντος, καὶ τῶν λοιπῶν διδασκάλων, ὡς ἀποφασκόμενον ἐνταῦθα τυγχάνει, καταφασκόντων ἐκ τοῦ υἱοῦ χρήσεσιν ἀτεχνῶς μυρίαις. ἐῶ γὰρ τὰς ἐκ τῆς οὐσίας φασκούσας, καὶ ὅσαι μετὰ τῶν ἰδίων ῥημάτων προφέρονται. τίνα συμφωνίαν τοῖς τῶν θείων ὑφηγηταῖς αὕτη περ ἡ κατασκευὴ δοίη; καὶ οὐχὶ λαμπρὰν ἐκπολέμωσιν μᾶλλον· καὶ πρόγε τῶν ἄλλων αὐτῷ τῷ Δαμασκόθεν λαμπτῆρι πρόστε ἑαυτὸν, καὶ τοὺς κατ' αὐτὸν τῶν οὐρανίων ἀγορητάς; εἰ γὰρ τὸ, μόνος, καὶ τὸ, ἐκ τοῦ υἱοῦ δὲ οὐ λέγομεν· ἐπ' ἀναιρέσει τούτῳ τεθεολόγηται, τοῦ ἐκ πατρὸς δι' υἱοῦ τὴν ἐκπόρευσιν· ταυτόν δ' εἰπεῖν ὕπαρξιν εἶναι τοῦ πνεύματος· ὡς αὐτὸς καὶ λέγει καὶ διαρθροῖ· καὶ τοῦ προβολέα τοῦ πνεύματος δι' υἱοῦ τὸν πατέρα ὑπάρχειν· καὶ αἴτιον δι' υἱοῦ· ἃ τῆς αὐτῆς καὶ μιᾶς ἐννοίας, καὶ τῶν ὅσα λοιπὰ πατέρων· πῶς οὐκ ἀναντιῤῥήτως οὗτος μαχητὴς ἀσύμβατος ἑαυτοῦ· καὶ τῶν, ὅσοι ταυτὶ δογματίζουσιν· οὐκ ἔστι τοῦτο μήτοιγε λεχθῆναι; πολλοῦ γε δεῖν καὶ εὐσεβεῖ διανοίᾳ ὑποπεσεῖν· λόγος ἕτερος τῷ πατρὶ τὸ μόνος ἀφιεροῖ· ὃς αὐτῷ πρόσεστι κατ' ἀνάγκην οὐ τῷ υἱῷ· ἐξ οὗ καὶ σύμβασις τοῖς διειλημμένοις. cod. f. 106. a.

λε'. Οὔμενουν ἐναντιοφώνησις ἐπακολουθεῖ· ὃν καὶ οὐχ' ἡμεῖς ὡς ὁ ἐναντίος ἐπὶ ῥήσει τῇ προβολεὺς, ἀλλ' οἱ θεοφόροι παραδεδώκασι· πρῶτον καὶ ἀρχικὸν αἴτιον τὸν πατέρα θεσπίσαντες· τοῦ τ' ἀποκεκληρωμένον ὃν τῷ πατρὶ, οὐ πρόσεστι τῷ υἱῷ· καὶ διὰ τοῦτο μόνος αἴτιος ὁ πατὴρ· ἢ πῶς ἐκεῖνα ληφθήσεται τῷ γενναίῳ· ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν· καὶ τὸ περὶ τῆς ἡμέρας ἐκείνης οὐδεὶς οἶδεν, εἰ μὴ ὁ πατὴρ μόνος· ὡς ἐκ πολλῶν καὶ οὐκ εὐαριθμήτων μαρτυριῶν δυσὶ χρήσομαι ταύταις ἐκ τῶν ἐν εὐαγγελίοις τοῦ κυρίου φωνῶν, μὴ πρὸς ἕτερον νοῦν ἢ τὸν τοῦ ἀρχικοῦ αἰτίου. ἔστι μὲν οὖν ἐνταυθοῖ καὶ ὁ τῆς ἀφαιρέσεως λόγος· ἀλλὰ πρὸς τοὺς ὀνομαζομένους ψευδωνύμους θεούς· ἀλλὰ πρὸς πᾶσαν ἁπλῶς φύσιν τῶν γενητῶν· οὔτε γάρ τι τούτων ἀληθινὸς θεός· ἥ τ' εἴδησις ἐκείνη ἀφῄρηται· πρὸς δὲ τὸν υἱὸν καὶ λόγον, οὐκ ἔστιν ἄλλως νοηθῆναι· ὅτι μὴ κατὰ τὸ παραδοθὲν πρῶτον αἴτιον. ἐπειδὴ γὰρ αὐτῷ πάντα πρὸς τοῦ πατρὸς ἀχρόνως καὶ ὑπὲρ λόγον, ἅτε φυσικῶς καὶ ὁμοουσίῳ γεννήματι θεοπρεπῶς ἀναφέρεται πάντα καὶ τῷ πατρί. κἀπειδὴ φύσει θεὸς αὐτὸς· ὅτι τοῦθ' ὁ πατὴρ ἀναφέρει τὴν θεότητα τῷ πατρὶ· κἀπειδὴ οἶδεν· ὅτι ὁ πατὴρ οἶδε τὸ εἰδέναι προσμαρτυρεῖ τῷ πατρὶ· οὐ ταῦτ' ἀφαιρῶν ἑαυτὸν· ἀλλ' ὡς εἰς ἀρχὴν καὶ ῥίζαν τὸν πατέρα καταλλήλως ἀνάγων, καὶ τοῦ μὴ δοκεῖν εἶναι ἀντίθεος. οὕτω καὶ τὸ μόνος αἴτιος· οὐ κατ' ἀφαίρεσιν εἰρημένον ἐστὶ τῆς εἰς τὸ εἶναι δι' υἱοῦ προόδου τοῦ πνεύματος· ἀδιαίρετος γὰρ ἐπ' αὐτῇ τῷ πατρὶ ὁ υἱός· εἴπερ δι' αὐτοῦ τρανέστατα ἡ ἐκπόρευσις· cod. f. 106. b. οὔτε μὴν τοῦ δι' υἱοῦ τὸν πατέρα αἴτιον εἶναι· εἴ περ δι' αὐτοῦ ἐστι προβολεὺς· καὶ ἐξ αἰτίας αὐτοῦ· διὰ τοῦ προσεχῶς, υἱοῦ δηλονότι πνεῦμα τὸ θεουρ-

γόν. ἀλλ' ὅτι ῥίζα καὶ ἀρχὴ ὁ πατὴρ· καὶ παρ' αὐτοῦ πάνθ' ὡς λέλεκται τῷ υἱῷ καὶ αὐτὸ τὸ ὑφεστᾶναι, καὶ τὸ ἀδιαίρετον ὑπάρχειν ἐπὶ τῇ φυσικῇ καὶ ἀϊδίῳ ὑπάρξει τοῦ πνεύματος· ἐπειδὴ δι' αὐτοῦ καὶ τὸ πᾶν τῷ πατρὶ μεμαρτύρηται τῆς αἰτίας· καὶ τὸ μόνος αἴτιος ἀφιέρωται. εἰς τοῦτο διανοίας ἥκει, καὶ τὸ ἐκ τοῦ υἱοῦ δὲ οὐ λέγομεν, οὐκ ἐπ' ἀναιρέσει ταυτησὶ τῆς τοῖς πατράσιν διηγορευμένης θεηγορίας, καὶ τῶν ὅσοι διαῤῥήδην ἐκ τοῦ υἱοῦ διεσάφησαν· ἀλλ' ὅτι τῇ δε συμφώνως τοῦθ' οὗτοι τεθεολογηκότες καὶ τὸ ἐκ τοῦ υἱοῦ ἀντὶ τοῦ διὰ τοῦ υἱοῦ εἰληφότες· ὡς ἐκ πολλῶν δῆλον ἑτέρων, καὶ ὧν πρὸς βραχὺ κατωτέρω διαληψόμεθα, ὡς ἐκ πρώτης αἰτίας. οὐ μὲν οὖν εἰρήκεισαν τοῦ υἱοῦ· καὶ τοῦτο λέγειν ἡμῖν οὐκ ἐξὸν· μόνῳ γὰρ ἀφώρισται τῷ πατρί. οὗτος ὁ νοῦς τοῖς θεοφορήτοις ἐπὶ τοῖς σφῶν· ἐξ αὐτῶν οὔμενουν ἐξ ἡμῶν, αὕτη ἡ συμφωνία. ὁ δ' ἐπ' ἀθετήσει τούτων οἰκείας ἐξηγήσεις ἐπὶ τῇ προβολεὺς ἀποτάττων φωνῇ· καὶ ταύταις ἐπερείδων βούλημα τὸ δοκοῦν· ὄργανον συνάγων ἐμφανῶς τὸν υἱὸν, εἰ τὸ τῶν κειμένων αἰδεῖται πρεσβεῖον· εἰ παρ' αὐτῶν ἃ παρέλαβε στέργει τῶν διδασκάλων, καὶ μὴ τοὐναντίον ἅπαν, ὅσα καὶ ὁποῖα ψευδηγόρως προσεπιτρίβων ἡμῖν ὁρᾶται· φιλαλήθως ἑαυτῷ προσεπικυρῶν. κρινάτω θεῖος φόβος ᾧ τοῖς ἐγκάτοις ἔνεστιν ὠδινόμενος.

λϛ'. Αὐτοὶ δὲ τοῦ λοιποῦ τὸ τῶν κεφαλαίων τέταρτον κατοψόμεθα, τάδε κατὰ ῥῆμα διεξιόν. „ τοῖς αὐτοῖς διαβεβαιουμένοις, ὡς διὰ τοῦ υἱοῦ καὶ ἐκ „ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχει παρὰ τοῦ πατρὸς ὁ παράκλητος· καὶ εἰς πίστιν „ πάλιν τοῦδε προβαλλομένοις τὴν ὅτι διὰ τοῦ υἱοῦ καὶ ἐκ τοῦ υἱοῦ ὑπάρχει
Cod. f. 107. a. „ πνεῦμα-ἐνίων γραφὴν, ἥγε καὶ δηλοῖ μὲν τὴν ἐκεῖθεν αὐτοῦ ἔκλαμψιν καὶ „ φανέρωσιν· δι' υἱοῦ γὰρ ὁμολογουμένως αὐτὸς ἀϊδίως ἐκλάμπει καὶ ἀναδείκνυται ὁ παράκλητος, ὥσπερ ἐκ τοῦ ἡλίου διὰ τῆς ἀκτῖνος τὸ φῶς· δηλοῖ „ δὲ καὶ τὴν εἰς ἡμᾶς χορηγίαν καὶ δόσιν καὶ ἀποστολήν. οὐ μὴν δὲ καὶ ὅτι „ ὑφίσταται δι' υἱοῦ καὶ ἐξ υἱοῦ, καὶ τὸ εἶναι παρ' αὐτοῦ καὶ δι' αὐτοῦ λαμ„ βάνει· ἐπειδήπερ ἂν εἶχεν ὄντως καὶ αὐτὸν τὸν υἱὸν αἴτιον καὶ ἀρχήν· ὥσ„ περ δὴ καὶ αὐτὸν τὸν πατέρα· ἵνα μὴ λέγω καὶ μᾶλλον τοῦ πατρὸς τὸν „ υἱόν· εἴπερ ἐξ οὗ τὴν ὕπαρξιν ἕκαστον ἔχειν λέγεται· ἐκεῖνο καὶ ἀρχὴν „ πλουτεῖν, καὶ αἴτιον τοῦ εἶναι πεπίστευται. τούτοις τὰ τοιαῦτα καὶ φρονοῦσι „ καὶ λέγουσιν τὴν προαναγεγραμμένην ψῆφόν τε καὶ καταδίκην ἐπάγομεν· „ εἶτα καθεξῆς ἐπισυνεῖρον τὰ τῆς αὐτῷ τῷ ἐκθεμένῳ καταλλήλως ἐχούσης ἀποφάσεως ῥήματα.

λζ'. Πάλιν οὖν ὁ κατὰ πολλὴν ἄδειαν ἅπερ ἐθέλει ἀπεῤῥευγόμενος τῶν χρήσεων ἐκείνας, αἵπερ ἐκ πατρὸς καὶ υἱοῦ· καὶ αὖ διὰ τοῦ υἱοῦ τὸ ὑπερθελὲς πνεῦμα διατρανοῦσιν ὑπάρχειν· ὧν τισι προσκείμενον ἄρα καὶ τὸ οὐσιωδῶς, ὁπόσον ἐπὶ τῇ τῶν ἐκκλησιῶν εἰρήνῃ τὸ στερέμνιον αὐχοῦσι κατανοῶν νομοθέτης κἀπὶ ταύταις κάθηται κραταιός· τό θ' ὑπάρχειν ἐπὶ ταῖς ἐξ υἱοῦ καὶ δι' υἱοῦ φωναῖς ἰδίᾳ λαβὼν, μὴ ὑπάρξεως λόγον ἔχειν· ἀλλὰ τὴν ἀΐδιον δηλοῦν ἔκλαμψιν ἐπιτάττει. καὶ προσέτι χορηγίαν τὴν εἰς ἡμᾶς, ὡς ἐντεῦθεν

ἐπὶ συνδεδεμένῃ ῥήσει μιᾷ βραχείᾳ ἐκ πατρὸς καὶ υἱοῦ μερίζεσθαι κελεύειν ῥῆμα τουτὶ τὸ ἀρχοειδές. καὶ φωνῇ μὲν τῇ ἐκ πατρὸς, αὐτὸ τοῦτο μένειν τῇ δηλώσει μὴ ἀλλοιούμενον, τῇ ἐξ υἱοῦ δὲ μεθίστασθαι ἑαυτοῦ, καὶ σημασιῶν ἑτερότητας ἐπιδέχεσθαι. καθὰ δὴ καὶ τὸ ἐκπορεύεσθαι διαιρῶν ὑπάρχει, τῇ ἐκ πατρὸς μὲν ἑτέρας διαρθρώσει, καὶ αὖ τῇ ἐκ πατρὸς δι᾽ υἱοῦ σαφανείας cod. f. 107. b. ἄλλης διοριζόμενος, καὶ τὸ προβολεὺς ὡσαύτως, ἡνίκα διὰ λόγου τε καὶ χωρίς. καὶ ποῦ ποτε ταῦτα; τίς τῶν θεοπνεύστων ὁ φάσκων; τίς ὁ παραδιδοὺς ποῦ ποτε αἱ τοσαῦται νομοθεσίαι καὶ διαιρέσεις ἐπὶ τοῖς κειμένοις οὕτω περιφανῶς, καὶ ὧν δῆλα τὰ τῆς ἑρμηνείας τοῖς θεοῤῥήμοσι; τίς δὲ καὶ τούτων ἄνευ ἐπί τινων ἄλλως ὁμοουσίων· ὁπηνίκα λέγοιτο ἕτερον ἐξ ἑτέρου ὑπάρχειν, ἢ οὐσιωδῶς ὑπάρχειν ὁρίσας ἐστὶ μὴ εἰς ὑπάρξεως λόγον ῥῆμα τοδὶ ἐκλαμβάνεσθαι; ἀλλ᾽ εἰς ἕτερον παρ᾽ αὐτὸν μεταλλάττεσθαι; ἀντεπιφέρει ταῖς ἀντιθέσεσιν ὁ στεῤῥός· ὅλως ἐπ᾽ ἀμφοτέρων προσώπων πατρὸς καὶ υἱοῦ ἕξει τὸ ὑπάρχειν λόγον δὴ τὸν αὐτόν· ἀλλ᾽ ἀντερωτώμενος παρ᾽ ἡμῶν ἀκούει· ἢ γὰρ οὐκ ἀμφοτέροις ἐφήρμοσται τηλαυγῶς· ἢ γὰρ οἷα δή τις ἐδόθη πρὸς τοῦτο διαστολή· ἔχεις εἰ βούλει καὶ τὴν διαφορὰν, ἣν αὐτοὶ πάλιν οἱ τῶν θείων παρέδοσαν ἑρμηνεῖς, τὴν πρὸς τὴν διὰ τῆς ἐκ ἀντιπεριχώρησιν, καὶ τρανοῦντες ἁπανταχοῦ καὶ δεικνύοντες· παρ᾽ ὃ καὶ τὸ ἐκ πατρὸς καὶ υἱοῦ ὑπάρχειν, ἀντὶ τοῦ ἐκ πατρὸς δι᾽ υἱοῦ ὑπάρχειν, καὶ τὴν ὕπαρξιν ἔχειν· ταυτὸν γὰρ ἀμφότερα· ὡς ἐντεῦθεν χρήσεις ἑκατέρας τὰς τῶν πατέρων, τάς τε ἐξ υἱοῦ καὶ δι᾽ υἱοῦ διευκρινούσας ὑπάρχειν συντρέχειν, ὡς ἀναμφίβολον, τῶν προθέσεων οὕτω διαστελλομένων, τῆς μὲν ἐπὶ παραστάσει τοῦ ἀρχικοῦ αἰτίου, τῆς δὲ διὰ τὴν πρὸς τοῦτο κατὰ τοὺς εἰπόντας ἀναφοράν.

λη΄. Εὖ δὲ σοὶ καὶ τοῦ παραδείγματος ὄντως· τὸ ἐκ τοῦ πατρὸς δι᾽ υἱοῦ τὸ πνεῦμα ὑπάρχειν, ὡς ἐκ τοῦ ἡλίου διὰ τῆς ἀκτῖνος τὸ φῶς ἀνομολογοῦντι· καὶ οὐ πάντως ἂν ὁ μετέωρος ἀρνηθείης, ὡς καὶ ἐκ τῆς ἀκτῖνος ἐστί τε καὶ λέγεται· πλὴν ὅτι δι᾽ αὐτῆς τηλαυγέστατα, ἅ τε φυσικῶς ἐπ᾽ αὐτῇ τῇ ἐκ τοῦ ἡλίου τούτου δὴ τοῦ φωτὸς ἐκλάμψει μεσιτευούσης, ἥτις αὐτοῦ τὸ εἶναι, ὁποιόν cod. f. 108. a. ποτε καὶ λογίσαιο. καὶ τούτων οὕτω κηρυττομένων ἡμῖν, τίνος ἀληθείας ἀντέχῃ λέγων· ἐπειδήπερ εἶχεν ἂν οὕτω καὶ αὐτὸν τὸν υἱὸν αἴτιον· ὥσπερ δῆτα καὶ αὐτὸν τὸν πατέρα, ἔστιν ὅλως ἐξ ὧν εἰρηκότες ἐσμέν· οὐκ οἴκοθεν ἀλλὰ τὰ τῶν πατέρων φωνοῦντες πρῶτον αἴτιον συναχθῆναι καὶ τὸν υἱόν· κἀντεῦθεν ἐναργῶς καὶ πατέρα κατὰ τὰς οὕτω σοι πλασθείσας ἐπαγωγὰς, καὶ οὐ τοῖς ἀνωτέρω μᾶλλον λελεγμένοις ἡμῖν συμφωνία τῶνδε καταφανὴς εἰς τὸ προβολέα δι᾽ υἱοῦ τὸν πατέρα τρανοῦσθαι καὶ αἴτιον δι᾽ υἱοῦ· τῶν ἐκεῖ πρὸς ταῦτα λίαν ἐχόμενα· ὁ δ᾽ ἐφεξῆς οὕτως συνημμένως συντίθης "ἵνα μὴ λέγω καὶ μᾶλ-„ λον τοῦ πατρὸς τὸν υἱόν· εἴπερ ἐξ οὗ τὴν ὕπαρξιν ἕκαστον ἔχειν λέγεται, „ ἐκεῖνο καὶ ἀρχὴν πλουτεῖν καὶ αἴτιον τοῦ εἶναι πεπίστευται„ ποῦ κείσεται, καὶ τί βούλεταί σοι; τίνα δὲ καὶ ἀκολουθίαν ὁ λόγος σχοίη· ἐξ υἱοῦ καὶ δι᾽ υἱοῦ τὸ πνεῦμα φάσκων ἡμᾶς πρεσβεύειν· εἶτα συνάγων ἐντεῦθεν τὸ μᾶλ-

λον αἴτιον ἔχειν τοῦ πατρὸς τὸν υἱόν, ὡς ἐν σχήματι παραλείψεως, καὶ αὖ τούτου σύντροχα πρὸς κατασκευὴν ἐπάγων, εἴπερ τὸ ἐξ οὗ τὴν ὕπαρξιν ἕκαστον ἔχειν λέγεται ἐκεῖνο πλουτεῖν καὶ ἀρχήν· ἐξ υἱοῦ καὶ δι' υἱοῦ τὸ πνεῦμα τῆς πρὸς τὴν ἀρχικὴν αἰτίαν ὅπερ ὁμολογίας γνωριστικόν· εἶτ' αὖθις ἐκ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχει, ὡς ἐξ ἀρχῆς καὶ ῥίζης· καὶ οὐ τοῦθ' οὕτως ἐκ τοῦ πατρός· εἰς τόδε γὰρ ἡ ἔκφασις ἥκει, σαφὴς τοῖς ἐπεσκεμμένως ἐνορῶσι γινομένη κραυγή· καὶ τίς ἡ ἐντεῦθεν ἁρμονία, τίς ἡ καταλληλία, ποία σύμφρασις ἡ κατὰ διάνοιαν; ποῦ θ' ἡμεῖς ταῦτα; ἐμφραγοίη σοι στόμα τὸ τηλίκην ἀδικίαν εἰς τὸ ὕψος λαλοῦν, ὅσα καὶ φιλονεικῆσαν ὄργανον ἐμφανῶς
cod. f. 108. b. γενέσθαι τοῦ ψεύδους ἀρχηγοῦ καὶ ἐφευρετοῦ· δοκῶ μοι καὶ λίαν εὐεπηβόλως οἶμαι, ἐκεῖνο σε λέγειν ἐνταῦθα, ὃ πρὸς τὸν συντετυραννημένον ἡμῖν σοι λόγου καὶ ἀρετῆς ἄνδρα τὸν χαρτοφύλακα φθάσας πρότερον καθαρῶς εἰρήκεις· καὶ ἡμεῖς ἄνω τοῦ ἡμετέρου λόγου γενομένους ὡδὶ λέξαι καθυπεσχόμεθα· τὸ Ῥωμαίους τὴν τοῦ παναγίου πνεύματος ὕπαρξιν ἐκ τοῦ υἱοῦ δοξάζειν εἰδέναι· ὅτι δ' ὁ υἱὸς ἐκ πατρὸς λέγειν ἄρα καὶ ἐκ πατρός.

λθ'. Καὶ εἰ τοῦτο, πρῶτα μὲν πῶς ἡ φίλη σοι διαφερόντως οἰκονομία ζεόντως κατεσπουδάσθη λόγων ὡς ἂν τῶν ἄνωθεν ἀγχοῦ τοῦ προοιμίου μοι τεθειμένων, νῦν ἀναμνήσω σε· ἔπειτα μὴ συνεσκιασμένως οὕτω τιθεὶς καὶ ἀσυναρτήτως παντάπασιν ἐπίφερε καθ' ἡμῶν. ἀλλὰ δεῖξον ὡς χρὴ δειχθῆναι, καὶ ἡμεῖς τοῖς οὕτω φρονοῦσιν, οὐχ' ὅπως οὐ συμβῆναι νομίσομεν δεῖν, μενοῦνγε καὶ μάλα κραταιῶς μαχεσόμεθα· ἀλλὰ ποῦ σοι πίστις ὧν λέγεις; εἴγε καὶ καθ' ἡμῶν ὧν ἑτέρων προφέρεις οὐδὲν, ὅσοι σχεδὸν μὴ συκοφαντούμενον· τὸ μὲν μίξεσι ψεύδους, τὸ δὲ τῆς ἐκ τοῦδε καθ' ὁλοκληρίαν ἅπασαν συσκευαῖς· ὅπως δ' αὖ σοι καὶ τοῦτο τοῦ τρόπου καὶ τῆς ὁρμῆς ἐνθάδε μὴ ἀποδέον τὸ τὰς θεοκροτήτους τῶν πατέρων θεηγορίας. ἁπλῶς ἐνίων γραφὴν κηρύττειν· μὴ διδασκάλων μὴ πατέρων μήτι τὸ παράπαν τῶν εἰς γέρας ἁγιοπρεπείας ἀπονενεμημένων σφίσιν ἑτέρων προθέμενον, ἢ ὑποθέμενον, τὸ κατὰ διάθεσιν ἅτε τῆς ψυχῆς ἐναργῶς ἐπ' αὐταῖς δεικνύντα, ὡς αἵδε τῶν τυχόντων αὐτῇ· ὅτι μὴ συνεφαπτόμεναι τοῦ σκοποῦ· ἡμεῖς μὲν οὖν σὺν αὐτοῖς καὶ τὸ πέμπτον σοι τῶν κενοφωνημάτων ἐπισκεψόμεθα· ὃ καὶ τοῖσδε περιγράφεις ὁ ἰσχυρόν. " τοῖς αὐ-
cod. f. 109. a. „ τοῖς φάσκουσιν, ὡς ἡ διὰ πρόθεσις ἁπανταχοῦ τῆς θεολογίας ἰσοδύναμός „ ἐστι τῇ ΕΚ· καὶ διατοῦτο διισχυριζομένοις μηδὲν διαφέρειν διὰ τοῦ υἱοῦ ἐκπο„ ρεύεσθαι λέγειν τὸ πνεῦμα, καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι· κἀντεῦθεν ἀναμ„ φιβόλως καὶ ὕπαρξιν τῷ πνεύματι ἐκ τοῦ υἱοῦ καὶ οὐσίωσιν νέμουσι· καὶ „ ἢ τὸ διττὸν τῆς αἰτίας συνάγουσι· ἢ τὸ ἑνιαῖον μὲν· πλὴν τὸν υἱὸν τῷ πα„ τρὶ κατ' αὐτὸν δὴ τοῦτον τὸν τῆς αἰτίας λόγον συνάπτουσιν, ἅπερ ἀμφότερα „ πάσης βλασφημίας ἐπέκεινα· οὐ γάρ ἐστιν ἐν τῇ τριάδι ἑτέρα τις ὑπόστα„ σις παρὰ τὴν τοῦ πατρὸς, ἐξ ἧς ἂν εἴη τοῖς ὁμοουσίοις ὕπαρξις καὶ οὐ„ σίωσις· κατὰ δὲ τὴν κοινὴν τῆς ἐκκλησίας δόξαν, καὶ τοὺς εἰπόντας ἁγίους, „ ῥίζα καὶ πηγὴ υἱοῦ καὶ πνεύματος ὁ πατὴρ, καὶ μόνη πηγὴ τῆς θεότητος

„ ὁ πατὴρ, εἰ γὰρ καὶ διὰ τοῦ υἱοῦ παρά τισι τῶν ἁγίων ἐκπορεύεσθαι τὸ „ πνεῦμα ἅγιον εἴρηται, τὴν εἰς ἀΐδιον ἔκφανσιν ἡ λέξις ἐνταῦθα οὐ τὴν „ εἰς τὸ εἶναι καθαρῶς σημαίνειν βούλεται πρόοδον· ἐπεὶ ἀφῃρεῖτο ἂν τὸν „ πατέρα τὸ μόνον αἴτιον εἶναι καὶ μόνην πηγὴν τῆς θεότητος· ἀπήλεγχε „ δὲ καὶ τὸν φάσκοντα θεολόγον· πάντα ὅσα ἔχει ὁ πατὴρ, τοῦ υἱοῦ πλὴν „ τῆς αἰτίας, οὐκ ἀληθῆ θεολόγον· τούτοις οὕτω φάσκουσι, τὴν προαναγε- „ γραμμένην ψῆφον τε καὶ καταδίκην ἐπάγομεν „ κατεξῆς ἐπισυνείρων τὰ τῆς αὐτῷ σοι καταλλήλως ἐχούσης ἀπόφασεως ῥήματα·

μ΄. Ὅρα ταῖς ἀληθείαις τὸν πολὺν ὁ ἀκροατὴς τῷ πρὸ τοῦ κεφαλαίῳ παραδόσεις οἰκείας συντάξας· ἐπὶ ταῖς αἷς αὐτόθι παραληφὼς ἐφάνη χρήσεσιν πατρικαῖς· ἐπεὶ μὴ πρὸς ἅπαν ἔσχεν ἀρεσκούσας τὸ τῇ προθέσει δοκοῦν, τελευταῖον ῥήμασι διαβεβλημένοις καὶ ἀνυποστάτοις ἀναπλάσμασι τοῖς ἀπὸ κοιλίας συμφύρει καὶ συνθολοῖ· νῦν δ' ἐξ αὐτῆς εἰσβουλῆς cod. f. 109. b. τὰ τῆς κακουργίας ἐπιτεχνάζεται. ποῦ γὰρ τῶν οἰκείων λόγων τοῦ θεσπίσμασιν ἱεροῖς ἀξίωμα περικειμένου τὸ πατριαρχικὸν περὶ τῆς εἰς τὴν ΔΙΑ τῆς ἘΚ ἀντιμεταστάσεως ἐπὶ τοῦ υἱοῦ κατὰ τὸ πάντῃ, τουτέστι παντελῶς ἀναμφίβολον ἐπὶ τῆς θεολογίας φαμένου αὐτὸς ἁπανταχοῦ τῆς θεολογίας φάσκειν ἡμᾶς ἰσοδύναμον εἶναι τῇ ΕΚ τὴν ΔΙΑ δολίως ἐκτίθεται. ἵν' οὖν ἡμῖν ὡς ἔχει τὰ περὶ τούτου δηλωθείη κἀνταῦθα, πέρας τε λάβῃ λόγων ἡμετέρων ἡ ἐπαγγελία τῶν ἔγγιστα. Βασίλειος μὲν ὁ μέγας πρὸς τὰ ὑπ' ἀλλήλων ἐπὶ τῆς θεολογίας σημαινόμενα πολλάκις ἀντιμεθίστασθαι τὴν ΕΚ καὶ ΔΙΑ βοᾷ τοῖς πρὸς Ἀμφιλόχιον· καὶ πολλὰ πρὸς τοῦτο παράγει τὰ παραδείγματα· ἐξ ὧν ἔστι μὲν εὐμαθὲς τὸ τῶν ῥηθεισῶν προθέσεων ἰσοδύναμον· ἔστι δ' ἑτέρωθεν αὖθις ἐξ αὐτοῦ καὶ τῶν οἷος αὐτὸς τρανέστατον τὸ διάφορον· εἴπερ τὰ τοῦ ἐξ οὗ καὶ δι' οὗ καὶ ἐν ᾧ μὴ φύσεις τεμνόντων, ἀλλὰ χαρακτηριζόντων μιᾶς καὶ ἀσυγχύτου φύσεως ἰδιότητας· καὶ τὴν μὲν ΕΚ τράνωσιν φέρειν τῆς ἀρχικῆς αἰτίας· τὴν δὲ ΔΙΑ τὴν πρὸς αὐτὴν ἔχειν ὁμολογίαν, ἐναργῆ πρὸς παράστασιν· παρὸ καὶ τεθειμένη μὲν ἐπὶ τοῦ πατρὸς ἐνίοτε ἡ ΔΙΑ, ἡ δέ γε ἘΚ ἐπὶ τοῦ υἱοῦ, πλὴν λόγοις κυριολεξίας καὶ τῆς ἀμφοῖν ἐνυπαρχούσης διαφορᾶς. τῷ μὲν ἡ ΕΚ τῷ δ' αὖ ἡ ΔΙΑ τὸ ἀραρὸς αὐχεῖ καὶ κατάλληλον· κἀντεῦθεν δι' υἱοῦ ἐστιν ἀνομολογῶν, ὁ ἐξ υἱοῦ διαῤῥήδην φθεγγόμενος. πολύς τε πρὸς τοῖς ἄλλοις τοῦτο διασαφῶν Κύριλλος ὁ θεσπέσιος μυριαχοῦ τῶν οἰκείων γραφῶν· ἔκ τε τῆς οὐσίας τοῦ υἱοῦ· καὶ αὖθις ἐκ τοῦ υἱοῦ τὸ παναλκὲς πνεῦμα διδάσκων, καὶ δι' υἱοῦ σύνεγγυς ἐπιφέρων τρανότατα· κἀν τοῖς πρὸς Παλλάδιον οὐχ' ἧττον· ἐξ ἀμφοῖν οὐσιωδῶς, ἤγουν ἐκ πατρὸς δι' υἱοῦ προχεῖσθαι προσμαρτυρόμενος· ἐξ ὧν θεολογικῆς ἀκριβείας εἶναι τὸ ἐξ cod. f. 110. a. ἀμφοῖν ἐκπορεύεσθαι πατρὸς καὶ υἱοῦ· τῷ ἐκ πατρὸς δι' υἱοῦ ἐκπορεύεσθαι συνᾴδειν καὶ συμφωνεῖν, οὐκ ἀμφίβολον.

μα΄. Εἰ δεῖ δὲ τὸν τῇ ὁμολογίᾳ προσλαβέσθαι περιβόητον Μάξιμον· αὐτὸς ἐπ' αὐτοῦ τούτου κατ' ἔπος διαρθρῶν ἐστιν οὕτω τῇ πρὸς Μαρῖνον ἐπιστολῇ,

διαυγὲς ὡς ἔνεστι τῷ βουλομένῳ παντὶ καθορᾶν· ἀλλ' ὁ καθ' ἡμῶν ἐκτόπως οὕτω φερόμενος· τὰ περὶ τούτου θεὶς ὡς βεβούλητο· καὶ τὸ δι' υἱοῦ λαμβάνειν ἡμᾶς εἰς τὸ ἐξ υἱοῦ φάσκων· καὶ οὐ τοὔμπαλιν μᾶλλον, ὡς ὁ θεολογικὸς ἀπαιτεῖ κανὼν καὶ ἡμῖν ἐστιν ἐκφωνούμενον, τὸ ἐξ ἀμφοῖν εἰς τὸ ἐκ πατρὸς δι' υἱοῦ ἐπ' αὐτοῦ δῆτα τοῦ ἐκπορεύεσθαι, νέμειν ἐντεῦθεν ὕπαρξιν καὶ οὐσίωσιν ἐκ τοῦ υἱοῦ συνάγει τῷ πνεύματι. πρὸς ὃν καὶ φᾶναι οὐκ ἀπεικὸς ὦ λεπτὲ συνιέναι καὶ συμπερᾶναι ταδὶ· εἰ τὸ δι' υἱοῦ εἰλημμένον ὡς σὺ προτίθης ἐκ τοῦ υἱοῦ πρόοδον εἰς τὸ εἶναι συνάγεσθαι δίδωσιν, εὔδηλον ὡς καὶ τὸ ἐξ υἱοῦ κατὰ σὲ πρὸς ἐκεῖνο μετατιθέμενον ὡς ἡ δεῖξις ἔχει· ἢ καὶ αὐτήπερ ἡ ΔΙΑ μεμενηκυῖα καθ' ἑαυτὴν τὸ αὐτὸ σημανεῖ κατὰ τὸ ἀκόλουθον· ἐπεί σοι νῦν ὁ λόγος περὶ τῆς προθέσεως, οὐ περὶ τοῦ ῥήματος εἰς τὴν ὁμολογουμένην ἀδιαστόλως διάνοιαν ἥκοντος· καὶ εἰ ἐπ' ἐκείνου τῆς ἐκπορεύσεως οὕτω τρανούσης τὸ ἀπόβλητον ἔχειν νομίζεις, τὸ αὐτὸ κἀπὶ τοῦδε διευλυτούσης τὸ ἀποπεμπταῖον φέρειν ἡγήσαιο. καὶ τὸ λοιπὸν εἰ δι' υἱοῦ ἐκπόρευσιν καταγγέλλεις, συμπέραινε πρὸς ταῦθ' ὁ δεινὸς· ἀλλὰ σὺ μὲν τὸ τοῦ κρημνοῦ τοῦδε καταφανὲς δεικνῦναι θέλων διαδιδράσκειν, δεινότερον κατωτέρω σεαυτῷ κοιλανεῖς· τοῦ μονομεροῦς ἅτε τῆς ἐννοίας αὐτῆς μεστὴν ἀνομίας ἑρμηνείαν εἰς ἀναίρεσιν συσκευάσας· ἡμεῖς δὲ τό τε τῶν προθέσεων, ὡς ἐρρέθη· τά τε τῆς ἐκπορεύσεως, ὡς παρεδόθη κατέχοντες, δι' υἱοῦ τε ταύτην ὁμολογοῦντες· καὶ τὸ ἐξ υἱοῦ εἰς τοῦθ' ἥκειν μεμυημένοι, μετὰ τῶν οὕτω θεηγορούντων, καὶ ἃς ἀτοπίας ἐπὶ τῇ ὡς αὐτὸς ἐξέθου προφορᾷ τῶν προθέσεων ἀνελίττεις. ἐπείπερ αὐταί σοι κἀπὶ τοῖσδε τοῖς ὡς αὐτοί φαμεν ἐφεπόμεναι καθαρῶς ἀποσκευάζομεθα. εἰ γὰρ ἡ δι' υἱοῦ φωνὴ τῆς προκαταρκτικῆς αἰτίας ὁμολογίαν ἔχει· καὶ πανθ' ἁπλῶς τῷ γεγεννηκότι τὰ τοῦ μονογενοῦς ἀναφέρεται, πλατύτερον ὡς ἐκτέθειται· τίνα τὸ διττὸν τῆς αἰτίας ἕξει παρείσδυσιν τοῦτο δὴ τὸ τῆς ὑμῶν μανιώδους ἐπινοίας δυσαντίβλεπτον καὶ ἀκαταγώνιστον εὕρεμα.

cod. f. 110. b.

μβ'. **Πῶς** δ' ἂν ἄλλως, ὡς πᾶσα τοιαδὶ περιαιριθείη σοι ματαιολογία, ἡ κατὰ ἡμῖν προεκτεθειμένα τό τε τῶν προσώπων τριαδικὸν τρανοῖτο, ἤθ' ὁμοουσιότης καὶ συμφυΐα γνωρίζοιτο, καὶ τὸ διάφορον τῆς ὑπάρξεως καταγγέλλοιτο· εἴγε τοιουτοτρόπως ῥίζα μὲν καὶ πηγὴ υἱοῦ καὶ πνεύματος ὁ πατὴρ· ἄμφω δ' ἐξ αὐτοῦ κατὰ διενηνοχότα τρόπον τὸν εἰς τὸ εἶναι· ὃς τὸ μὲν γέννημα, τὸ δὲ ἐκπόρευμα θεοπρεπῶς ἀφορίζεν· καὶ τὸ μὲν ἐκ τῆς ῥίζης δι' οὐδενὸς· ἀμέσως γὰρ ὁ υἱὸς· τὸ δὲ δι' αὐτοῦ ἐκ τῆς ῥίζης κατὰ τὸ αὐτοῦ διαλλάσσον· δι' υἱοῦ γὰρ ἐκπορευτὸν. ἐξ ὧν ἦτε ῥίζα καὶ τὸ μονογενὲς καὶ ἐκπορευτὸν προσφυῶς ἀπονενεμημένα ταῖς ὑποστάσεσι, ὡς ἑκάστην αὐχεῖν τὸ οἰκεῖον ἀναμφιλέκτως· τό τε συνημμένον προσφόρως καὶ ἀδιαίρετον, καὶ τὸ ἐν μηδενὶ κατὰ τοὺς θεόθεν ἐνηχημένους ἀσυμφώνως ἔχειν αὐτὰς· ὅτι μὴ κατὰ τὸ αἰτιατόν τε καὶ αἴτιον· πῶς δ' ἂν καὶ μόνη πηγὴ τῆς θεότητος ὁ πατὴρ; πηγὴ δ' αὖθις τοῦ πνεύματος ὁ υἱὸς· " οἶδε γάρ, φησιν ὁ τῆς ἀθανασίας ἐπώνυμος, παρὰ θεῷ „ πατρὶ τὸν υἱὸν ὄντα τὴν πηγὴν τοῦ ἁγίου πνεύματος·„ ὅ τε χρυσορρήμων

cod. f. 111. a.

„ διατοῦτο δείκνυσιν ἑαυτὸν ὁ σωτὴρ πηγὴν τῆς ζωῆς, καὶ ὕδωρ ζῶν τὸ „ πνεῦμα τὸ ἅγιον.„ εἰ μὴ τὸ μὲν μόνη κατὰ τοὺς εἰρημένους λόγους τῆς ἀρχικῆς αἰτίας· τὸ δὲ πηγὴ ὁ υἱὸς κατὰ τὸ δι' αὐτοῦ τὸ ὑπερτελὲς ἔχειν πνεῦμα τὸν ἰδιάζοντα τρόπον αὐτοῦ τῆς ὑπάρξεως· πῶς δ' ἂν εἰ μὴ κατὰ ταῦτα· ἀρχὴ τοῦ υἱοῦ ὁ πατὴρ ἀϊδίως αὐτὸν γεννήσας καὶ πρωτότυπος τοῦ πνεύματος ὁ κύριος· εἰκὼν τοῦ πατρὸς ὁ υἱός· τοῦ δὲ υἱοῦ τὸ πνεῦμα· ἐνέργεια τοῦ πατρὸς ὁ υἱός· ἐνέργεια τοῦ υἱοῦ τὸ πνεῦμα· πρόσωπον τοῦ πατρὸς ὁ υἱός, πρόσωπον τοῦ υἱοῦ τὸ πνεῦμα· ἴδιον πατρὸς καὶ υἱοῦ· κοινὸν πατρὸς καὶ υἱοῦ· καὶ μηδέν τι τούτων ὁπωσοῦν κατὰ τὸ ἀντίστροφον· αὐτός γε μὴν τῶνδε μὴ ἐπιστρεφόμενος τὸ παράπαν καὶ τὸ ἐκπορεύεσθαι ἀλλοιώσεις προστάσσων· εἰ γὰρ καὶ δι' υἱοῦ παρά τισι τῶν ἁγίων ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον εἴρηται· τὴν εἰς ἀΐδιον ἔκφανσιν ἡ λέξις ἐνταῦθα οὐ τὴν εἰς τὸ εἶναι καθαρῶς σημαίνειν βούλεται πρόοδον· καὶ τὸ δὴ τερατῶδες. ἐνθάδ' ὁ πολὺς ὅπη προτεθεικὼς ἔγγιστα φθάνεις ἐντεῦθεν ἡμᾶς τῷ πνεύματι νέμειν ἀναμφιβόλως ὕπαρξιν καὶ οὐσίωσιν· οἷά περ τοῦτ' εἰδὼς ἀμεταθέτως τρανούσης τῆς λέξεως.

μγ'. Ἀλλὰ τί πρὸς ταῦτα καὶ φῶμεν; οὕτω σοι λυσσῶντι προαιρετῶς, εἰ τὸ τοῦ ἰδίου σοι κατεξανίστασθαι συνειδότος λελόγισται παρ' οὐδέν; εἰ τὸ βόθρου κατασύρεσθαι θελητόν; τίς ἂν λόγος ἀναχαιτίσων καὶ τῆς μανιώδους φορᾶς ἐξαιρήσων σε; κράζεις ὅμως, οὐ τὴν εἰς τὸ εἶναι σημαίνει πρόοδον καθαρῶς· τί δ' ἂν ἀμαυρῶς μέντοι δηλοῖ γε καὶ σκοτεινῶς; καὶ μὴν ὦ τὸν γνήσιον νοῦν διδαγμάτων cod. f. 111. b. τῶν πατρικῶν οἰκειούμενος; οὐκ ἔστιν ὃς ἂν εὐσεβεῖν αἱροῖτο μὴ πάνυ καθαρῶς καὶ ἀδιαστόλως ὡς τὴν γέννησιν ἐπὶ τοῦ υἱοῦ· τὴν ἐκπόρευσιν οὕτως ἐπὶ τοῦ πνεύματος ἐπὶ σημασίᾳ τῆς εἰς τὸ εἶναι σφῶν διαφόρου προόδου τοῖς ἐκφάντορσι τῶν θείων παραδεδόσθαι μέγα βοήσειε. καὶ τοῦθ' οὕτως ἔχων ἀναντιρρήτως ἀφαιρεῖται κατὰ σὲ τὸ μόνον αἴτιον καὶ μόνην εἶναι πηγὴν τῆς θεότητος τὸν πατέρα· ἀπελέγχει δὲ καὶ τὸν φάσκοντα θεολόγον "πάντα ὅσα ἔχει „ ὁ πατὴρ τοῦ υἱοῦ πλὴν τῆς αἰτίας· οὐκ ἀληθῆ θεολόγον·„ δεδομένου σοι καὶ τοῦδε τοιουτωδῶς γεγράφθαι ἄλλως ἔχοντος ὡς εἰρήσεται; καὶ οὕτω τὰ καθ' ἡμῶν σοι πεπλασμένως συμπερανθέντα, λίαν ἀποδεδειγμένως ἀποφαίνῃ κατὰ σαυτοῦ τρανῶς μὲν καὶ μάλα διαγεστάτως· ἐξ ὧν τὴν ἐκπόρευσιν ὡς ἐλέχθη τῶν κειμένων εἶναι τῇ ἐκκλησίᾳ ὁμολογούμενον· ἀμαυρῶς δέ γε καὶ συγκεκαλυμμένως, ἐξ ὧν οὐ καθαροῦ νοὸς οὕτω; ἔχειν ἐπιτάττεις αὐτός· ὡς εἴη σοι κἂν τούτῳ τὸ κατὰ σέ· ἀλλ' ἡμεῖς τὸ συμβαῖνον τῶν διδασκαλικῶν θεσπισμάτων· οὕτως ἐξ αὐτῶν εἰδότες ὡς ἐξετέθη, καὶ μήτε τὸ μόνος ἐπ' ἀνατροπῇ καὶ συγχύσει τῆς δι' υἱοῦ τοῦ πνεύματος ἐκπορεύσεως διδαχθέντες, μήτε μὴν ἐπ' ἀναιρέσει τούτου τὰ κατ' αὐτὴν εἰλημμένα ὡς παραδέδοται· σοὶ γὰρ ὁ ἐκ τῶνδε βόθυνος ἑκατέρωθεν διηυτρέπισται τοῦ παντὸς ἀξιοῦντι θατέρῳ ἐμπεπτωκέναι· ὅσα καὶ θατέρου τὴν ἀναίρεσιν πειρωμένῳ κατασκευὴν τοῦ ἑτέρου δεικνῦναι.

μδ'. Εἴχομεν ἂν καὶ τὸ πλὴν τῆς αἰτίας προσφυῶς πάνυ καὶ ἡρμοσμένως κατὰ τοὺς ἀποδοθέντας τοῖς ῥηθεῖσι λόγους φᾶναι λελέχθαι· εἰ πατρὸς ἦν cod. f. 112. a.

ἐκείνου ῥῆσις ἀναμφιβόλως· οὗπερ ὡς οὖσαν τήνδε προτείνεις αὐτός· νῦν δ' εἰ μή τι ἄλλο οὐκ ἔδει σε ὁμολογουμένως ἐνταῦθα θεῖναι τὰ τῶν δικαστηρίων εἰς νοῦν λαβόντα, ἐν οἷς πρὸς τοῖς ἄλλοις, ἐξ ὧν τῆς δυναστείας ἀπούσης εἰς μεῖζον ἂν σοι τὰ τῆς καταγνώσεως ἢ προβεβήκει προέκοψεν· οὐδὲ ταύτην δεῖξαι βρενθυόμενος ἠδυνήθης, ταῖς μὲν τῶν βίβλων οὕτως ἐγκειμένην ἑωρακώς, ταῖς δὲ πλὴν τῆς ἀγεννησίας φανότατα· ὧν καὶ τίνι τίς ἂν προστεθείη διαγνῶναι θέλων ὀρθῶς. ἐπείπερ ἀνάγκη ἢ τοῖς ἄλλοις ἧπερ αὐτοῦ λόγοις χρώμενος ὁ μέγας ὁρῷτο τὰ τοῦ πατρὸς τοῦ υἱοῦ πάντα φάσκων πλὴν τῆς ἀγεννησίας ἁπανταχοῦ· τίνα δ' ἂν ἄλλως τε καὶ οὐ πείσειε τῆς κατὰ Ῥωμαίων οὔσης τῶν ἡμετέρων ῥοπῆς τηλίκης χρόνος ἐξ οὗ τοσοῦτος μὴ ἄν ποτε δοκοῦν τι σφίσι προσίστασθαι τῶν πατέρων πρὸς τὸ μὴ δοκοῦν τοῖς ἐνθάδε μεταμειφθῆναι; ὅτι μὴ τὸ ἀνάπαλιν μᾶλλον τὸ οὕτως ἔχον πρὸς τὸ ἐκείνῳ ἐνοπτριζόμενον· εἴ γε καὶ μάλιστα τῶν θεοφορήτων ἕτερα πλεῖστα· πάντῃ τὰ τῆς ὑποθέσεως ἀκραιφνῶς παριστῶντα· παραφθοραῖς τοῖσδε διαφόροις πρὸς τὸ βουλητέον μεταπεποίηται· ὃ καὶ δηλῶσαι καθόσον εἰκὸς· ἄλλης ἂν εἴη λογογραφικῆς ἰδέας ἐγχείρημα· κἀκεῖνο δέ σοι πρὸς τοῖς λοιποῖς ὁποῖον, ὕπαρξιν δι' υἱοῦ κατὰ λέξιν αἰτοῦντι καὶ τοῦ θαυμαστοῦ Κυρίλλου τρανῶς ἐν τοῖς πρὸς Ἑρμείαν οὕτω θεηγοροῦντος ἀκούοντι· „ἅγιον δὲ τὸ πνεῦμα προσερεῖς τὸ ἐκ θεοῦ πατρὸς δι' υἱοῦ προχεόμενον „φυσικῶς· καὶ καθάπερ ἐν τύπῳ τῆς ἐκ τῶν στομάτων διαπνοῆς, τὴν ἰδίαν ἡμῖν
cod. f. 112. b. „κατασημαῖνον ὕπαρξιν, οὕτω τε σαφῆ καὶ ἀσύγχυτον τὴν τῶν τριῶν ὑποστάσεων „ἐν ὑπάρξεσιν ἰδικαῖς ἰδιότητα τηρῶν μίαν τε καὶ ὁμοούσιον τὴν ἁπάντων „βασιλίδα προσκυνήσεις φύσιν τοῦ σημαίνειν δέδραχθαι, ὡς εἴγε μὴ ἐκ λέξεων „καθόσον ἡμῖν χωρητὸν τὸ τὰ θεῖα δηλοῦσθαι· ἀπό τε τοῦ γεννᾶσθαι τὴν ἀΐδιον „ἡμῖν ὕπαρξιν σημαίνεσθαι τοῦ υἱοῦ· ἀπό τε τοῦ ἐκπορεύεσθαι τὴν τοῦ πνεύ„ματος· ἀπό τε λοιπῶν ὡσαύτως σωτηριωδῶς τῇ ἐκκλησίᾳ πρεσβευομένων κἀν„ταῦθα πάνυ περιόπτως ἀπὸ τοῦ ἐκ πατρὸς δι' υἱοῦ φυσικῶς προχεῖσθαι τὸ „πανάγιον πνεῦμα τὴν ἐκ πατρὸς αὐτοῦ δι' υἱοῦ ὕπαρξιν καταγγέλλεσθαι·„ πῶς δ' ἂν ἐξ ὧν εἰς ταῦτα τορῶς κραυγάζεις ἔκφανσιν ἐπ' ἀντροπῇ καὶ συγχύσει λαμβάνων τῆς ἐκπορεύσεως· καὶ πάλιν ὕπαρξιν τὸ δι' υἱοῦ φυσικῶς προχεῖσθαι κατὰ ῥῆμα μανθάνων ἡμῖν σημαίνειν· εἶτα, οὐχ' ὅτι δι' υἱοῦ ἐστιν αὕτη, ἡμῖν δηλοῦται· ἀλλ' ὡς μὴ οὖσα δι' αὐτοῦ ἡμῖν ἐστι σημαινομένη διατεινόμενος· οὐχὶ προδήλως Ἄρειον ἀναζῆν θριαμβεύσας· ὄργανον ἀνακηρύττων ἀνέτῳ στόματι τὸν υἱὸν τῆς τοῦ ὑπεραγάθου πνεύματος ἀϊδίου ὑπάρξεως καὶ ἐκλάμψεως.

με'. Πλὴν ἀπάρτι σοι καὶ τὸ τῶν καθ' ἡμῶν ἕκτον παρίτω μηχανημάτων· ὃ καὶ οὕτω συντίθης ἀκαταμάχητος ἐπὶ λέξεως· „τοῖς αὐτοῖς διισχυριζομέ„νοις ὡς ἡ μία οὐσία καὶ θεότης πατρὸς καὶ υἱοῦ τῆς τοῦ πνεύματος ὑπάρ„ξεώς ἐστιν αἰτία, ὅπερ οὐδεὶς τῶν νοῦν ἐχόντων οὐδέποτε οὔτ' εἰρηκώς, „οὔτε φρονήσας ἐφάνη· οὐδὲ γάρ ἐστιν ἡ κοινὴ καὶ φύσις ὑποστάσεως

„ αἰτία, ἐπεὶ μηδὲ γεννητικὴ ποτὲ, οὐδὲ προβλητικὴ αὐτή γε ἡ κοινὴ „ οὐσία πέφυκε τῶν ἀτόμων· ἡ δὲ μετὰ ἰδιωμάτων οὐσία· ἤ τις σαφῶς „ κατὰ τὸν μέγαν Μάξιμον αὐτὴν δηλοῖ τὴν ὑπόστασιν. ἀλλὰ καὶ κατ' „ αὐτὸν δὴ τὸν μέγαν Βασίλειον· κἀκεῖνος γὰρ ὑπόστασιν ὁρίζεται εἶναι cod. f. 113. a. „ τὴν τὸ κοινόν τε καὶ ἀπερίγραπτον ἐν τῷ τινὶ πράγματι διὰ τῶν ἐπιφαι- „ νομένων ἰδιωμάτων παριστῶσαν καὶ περιγράφουσαν· διὰ τοῦτο καὶ τὸ τῆς „ οὐσίας ἄτομον ἀεὶ προβάλλεται τὸ ἄτομον ἢ γεννᾷ· καὶ δεῖ τὸ γεννῶν „ ἄτομον, ὡς τὸ γεννώμενον εἶναι· καὶ τὸ προβάλλον ὡς τὸ προβαλλόμενον· „ πατρὸς δὲ καὶ υἱοῦ ἡ οὐσία μία καὶ οὐχ ὡς ὅλως ἄτομον· τούτοις οὕτως „ ἄτοπα βλασφημοῦσι τὴν προαναγεγραμμένην ψῆφόν τε καὶ καταδίκην ἐπά- „ γομεν„ ἐφεξῆς ἐπισυνείρων τὰ τῆς αὐτῷ σοι καταλλήλως ἐχούσης ἀποφάσεως ῥήματα.

μϛ'. Ἡμεῖς πρὸς ταῦτα· μίαν πατρός φαμεν καὶ υἱοῦ οὐσίαν, αὐτὸν ἐν-τεῦθεν κηρύττοντες τὸν πατέρα ἐνυπόστατον καὶ ἐνούσιον, αὐτὸν τὸν υἱὸν ὡσαύτως· ἐπείπερ ἕκαστον τῶν προσώπων τελείαν οἴδαμεν οὐσίαν· τε-λείαν θεότητα κατὰ τὸν φωτοβολήσαντα Δαμασκόθεν ἀειφανῆ λαμπτῆρα· ὅταν νοήσω μίαν τῶν ὑποστάσεων δογματίζοντα· τέλειον αὐτὴν θεὸν οἶδα· τελείαν οὐσίαν· μίαν δὲ διὰ τὸ ταυτὸν πάντῃ καὶ ἀπαράλλακτον· ἐφ' ᾧ καὶ τὸ ἑνιαῖον τῆς ἀμφοῖν θεότητος καὶ οὐσίας αἴτιον τῆς τοῦ πνεύμα-τος ὑπάρξεως διδασκόμεθα· ἐπειδήπερ ἐκ θεοῦ τοῦ πατρὸς διὰ θεοῦ τοῦ υἱοῦ θεὸν αὐτὸ τέλειον καταγγέλλομεν· ἔκ τε τοῦ πατρὸς διὰ τοῦ υἱοῦ τὸν διά-φορον αὐτοῦ τρόπον τῆς οὐσιώσεως ἔχειν φρονοῦμεν· οὐ διαιροῦντας ἐπ' αὐτῇ τὸν υἱὸν τοῦ πατρὸς " εἴ γε ἐκ τῆς οὐσίας ἀμφοῖν τὸ πνεῦμα· καὶ διὰ τοῦ „ υἱοῦ προβολεύς ἐστι τοῦ πνεύματος ὁ πατὴρ· οὕτω τε τὴν φυσικὴν ἐπὶ τῇ „ τοῦ πνεύματος προόδῳ τοῦ υἱοῦ μεσιτείαν τρανοῦντες „ καὶ τὴν ἀρχικὴν αἰτίαν διαπρυσίως πρεσβεύοντες· κἀκείνῃ τῆς αἰτίας ἔνθεν τὸ πᾶν ἀναφέροντες· σοὶ δὲ τῷ καινῷ θεολόγῳ πρὸς κατασκευὴν τῆς καθ' ἡμῶν ἐνταῦθα καταφθο- cod. f. 113. b. ρᾶς, τί τὸ ἐπάγειν· οὐδὲ γάρ ἐστιν ἡ κοινὴ οὐσία καὶ φύσις ὑποστάσεως αἰ-τία. ἀλλὰ πρῶτα φράσον ἡμῖν ὁ ὑπερνεφὴς ὅπως ποτε τήνδε καὶ δέχοιο ἐπι-νοίᾳ μόνῃ δίχα τῶν ὑποστάσεων· ἢ καὶ καθ' ἑαυτὴν ἐκείνων χωρίς· οὐκ ὀλίγη γάρ σοι πρὸς τοῦτο ἡ ἔμφασις μονονοῦ τράνωσις οὖσα· εἰ μὲν οὖν τὸ πρῶτον· τί σοι τὸ καθ' ἡμῶν ἐπιφέρειν ὡς ἔλεγον· εἴ γε τοῖς ἐκ τῆς οὐσίας τοῦ πα-τρὸς καὶ υἱοῦ ῥήμασι θεοφθόγγοις καὶ λοιποῖς τοῖς διηγγελμένοις ἐνυπό-στατα καὶ ἐνούσια λαμβάνειν τὰ πρόσωπα καὶ τὸ μίαν οὐσίαν λόγους καθ' οὓς ἀναμολογοῦμεν δεδειχότες ἐσμὲν, τῆς ΕΚ ἐπὶ τοῦ υἱοῦ νοουμένης ὡς προ-διείληπται· ἔπειτα τῆς εἰς τὸ εἶναι δι' υἱοῦ προόδου τοῦ πνεύματος· πραγ-ματικῶς οὔσης ἡμῖν καὶ δοξαζομένης· πῶς ἂν ἐκ τῆς ἐπινοίᾳ θεωρουμένης οὐσίας ὅλως τήνδε καὶ δοίημεν.

μζ'. Εἰ μὲν οὖν τὸ πρῶτον οὕτω σοι τὰ πρὸς ἔλεγχον προφανῆ· εἰ δέ γε τὸ δεύτερον· ἡμῖν μὲν οἱ αὐτοὶ λόγοι καὶ πάλιν ἀποχρώντως ἔχουσι πρὸς

ἀποτροπήν· σοὶ δὲ τίς ἂν ἐπαρκέσῃ λόγος· τετράδι καὶ μὴ τριάδι προσανέχοντι τὸ ἐντεῦθεν· ἔτι τε τῶν Πλάτωνος ἰδεῶν παρεμφαίνοντι γραωδέστερα· οὗ καὶ τῶν οἷος αὐτὸς σοφίσμασί τισιν ἐνσχολάσας ἐς τοσοῦτον ἤλασας ἀπονοίας· ὡς καὶ τῶν θεοβραβεύτων διδασκάλων κατωφρυῶσθαι· τὰ σφῶν πολλῶν ἐπ' αὐτηκόῳ διοβελίζοντα φράσεσι καὶ νοήμασι· οὗ καρπός σοι τελευταῖος τὸ σφίσιν ἐπὶ τῇ περὶ ἧς ὁ λόγος ἀντιπνεῦσαι θεηγορίᾳ πληρέστατα· τέως δ' οὖν προϊὼν ἐπιφέρεις· ἡ δὲ μετ' ἰδιωμάτων οὐσία, αἰτία καθέστηκε δηλαδή· ἣν καὶ αὐτὴν ὁρίζεσθαι καὶ δηλοῦν τὴν ὑπόστασιν φάσκεις δυσὶ τῶν τῆς εὐσεβείας μεγάλων προηγόρων εἰς μαρτυρίαν χρησάμενος· φάθι καὶ γοῦν ὁ γενναῖος· τούτων οὕτως ἐχόντων ἆρα δοκεῖ σοι τὸ ἐκ τῆς οὐσίας τοῦ πατρὸς ἔπος μετ' ἰδιωμάτων οὐσίαν σημαίνειν καὶ δηλοῦν ὑπόστασιν· ἢ οὔ; οἶμαι σε τῇ καταφάσει συμφήσειν· τί δὲ ὅλον εἰς αἰτίαν παραλήψῃ τὸν πατέρα τοὐντεῦθεν ἐνυπόστατον καὶ ἐνούσιον; ἐξ ὧν προδιομολογήσας εἴης ἀνάγκη σοι· πῶς οὖν ὁ πολὺς τῷ μνημονευθέντι σοι λόγῳ, οὗ τὸ τηρηθῆναι βαθὺν ὑπὸ σκότον τὸ ἰδιαίτατον ἐκ τῆς οὐσίας εἰρημένον ὂν τὸ πνεῦμα φωνῶν τοῦ πατρός· καλῶς ἂν ἔχῃ καὶ ἐκ τῆς ὑποστάσεως λέγεσθαι ἀποφαίνῃ· καὶ τὸ μὲν ἐκ τῆς ὑποστάσεως τὴν αἰτίαν τρανοῦν κελεύεις· τὸ δὲ ἐκ τῆς οὐσίας τὸ ὁμοούσιον οὐ τὸ αἴτιον, πολὺν εἰς τοῦτο λόγον κατακενῶν· πῶς ταῦθ' ὁ σοφός· ἡ οὐσία τοῦ πατρὸς οὐ τὸ αἴτιον· εἶτα ἡ μετ' ἰδιωμάτων οὐσία τοῦτο περιφανῶς· οὐ μετ' ἰδιωμάτων οὐσία ἡ τοῦ πατρός· ἔστιν ἄλλῳπερ ἢ σοι φιλαλήθως τὸ μελαγχολίαν νοσεῖν οὕτω βάλλοντι καὶ δαρδάπτοντι ἑαυτόν; ἔστι δὲ καὶ τὸ διαιρεῖν οὐσίαν καὶ ὑπόστασιν ὅλως διαφυγεῖν; καὶ αὖ οὐ τοῦτο· οἷς τὴν μετὰ τῶν ἀπονενεμημένων αὐτῇ πρὸς διαφορὰν οὐσίαν αἰτίαν ὁμολογεῖς· φὴς ὡς λόγῳ μόνῳ σοι λαμβάνεται ἡ διαίρεσις· εἶτα ἐκ τῆς λόγῳ σοι διαιρουμένης ὑποστάσεως διδοὺς τῷ πνεύματι τὴν οὐσιώσιν ὑφιστάμενον ἕξεις τοῦτο πραγματικῶς· καὶ οὐ λόγῳ μόνῳ καὶ ἐπινοίᾳ· κἀντεῦθεν εἰς τὴν τῶν φαντασιαστῶν δυσσεβεστάτην ἀπελαθείης ἀπόνοιαν· οὐμενοῦν ἐπὶ τῆς οἰκονομίας· ἀλλ' ἐπὶ τῆς ἀνωτάτω θεολογίας αὐτῆς· ἀλλ' ἴδωμεν ὁποία σοι κἀπὶ τοῦ υἱοῦ· παρὰ τοῦτο γὰρ τὰ τοσαυταχῶς ἐπὶ τοῦ πατρὸς γλωσσαλγούμενα· οὐ μετ' ἰδιωμάτων οὐσίαν ἐρεῖς ὡσαύτως τὸ ἐκ τῆς οὐσίας τοῦ υἱοῦ βούλεσθαι διαρθροῦν·

μη'. Σὺ μὲν οὖν πρὸς ταῦτα θεσμοθετῶν αὖ καὶ τάσσων ὧν ὁ ἔλεγχος ἐναργής, ἐκεῖνο μᾶλλον ἀντεπάξεις· ὡς ταυτοτρόπως ἐπ' ἀμφοῖν τοῦ πατρὸς καὶ υἱοῦ νοηθήσεται τὸ ἐκ τῆς οὐσίας, καὶ εἰς τὴν αἰτίαν ἄμφω ληφθήσεται· ἡμῖν δ' ἀρκούντως τὰ πρὸς ἀπολογίαν ἐπὶ τούτοις ἐκτεθειμένα, βραχυτάτως καὶ πάλιν εἰρήσεται, ὡς ἑκατέρῳ τῶν προσώπων τὸ ἐνυπόστατον ἔνθεν τρανῶς σημαίνεται καὶ ἐνούσιον· κἀκ τῆς ἀμφοῖν οὐσίας τῆς τοῦ πατρὸς δηλαδὴ διὰ τῆς τοῦ υἱοῦ συμφώνως τοῖς ἀποδειχθεῖσιν, αἰτιατὸν τὸ πνεῦμα γνωρίζεται· σὺ δὲ καὶ τοῦθ' ὅπως εἰδῇς· σύνες τὸ ἐκ τῆς οὐσίας οὕτως ἀποκληρῶν τῷ υἱῷ· ὡς οὐμενοῦν αὐχεῖν ἐκ τῆς ὑποστάσεως· παρὰ τὸ δήλωσιν ὁμοουσιότητος

φέρειν, εἰ μὴ κατὰ πᾶσαν ἀνάγκην κἀκ τῆς οὐσίας τοῦ πνεύματος τὸν υἱὸν διδάσκεις, καὶ ἔτι τὸν πατέρα ἐκ τῆς οὐσίας τοῦ υἱοῦ καὶ τοῦ πνεύματος· τοῦτο γὰρ ἀκωλύτως ὁ οὕτω κατὰ σὲ τῆς ὁμοουσιότητος λόγος δοίη· εἴ γε πρὸς ἄλληλα ὁμοούσια· καὶ πρὸς τοῖς τοσούτοις, εἰ καὶ τὸ προβάλλον ἐνταῦθα καὶ τὸ προβαλλόμενον τηρηθείη σοι· πόσου θαυμασμοῦ ἂν οὐ κριθείη· οὕτως ὁμολογουμένως καὶ ἀδιαστόλως σύνεγγυς οὐ μακρὰν εἰς αἰτίου καὶ αἰτιατοῦ λόγον σοι λαμβανόμενα· ὡς εἰ τὸ ἑνιαῖον ἔχειν ἁπανταχοῦ σοι διέγνωστο· πόθεν οὖν σοι τῷ ἀηττήτῳ ταυτὶ συμπεφορημένως, εἰ μὴ ἐκ τοῦ μὴ στέργειν τὰ τῶν διδασκάλων τὰ τῶν κηρύκων, ἀλλὰ διαστολάς, ἀλλ᾽ ἐπινοίας ἐπιτεχνᾶσθαι αὐθειρέτῳ κακίᾳ συνισχημένον εἰς ἀνατροπὴν σφῶν καὶ ἀναίρεσιν.

μθ΄. Νῦν δὲ καὶ τὸ ἕβδομον τῶν καθ᾽ ἡμῶν ἐπὶ ἐξαπάτῃ πολλῶν σοι σκαιουργημάτων οὕτως ἀρτύεις ὁ κραταιὸς " τοῖς αὐτοῖς ὅτι ὁ πατὴρ καὶ υἱὸς τῷ „ αἰτίῳ κοινωνοῦσι τοῦ πνεύματος δογματίζουσι, οὐχ ὡς ἀρχαὶ καὶ αἴτια δύο, „ καὶ ὅτι κατὰ τοσοῦτον κοινωνεῖ ὁ υἱὸς τῷ πατρὶ καθόσον ἐστὶ ἧκον εἰς τὴν ΔΙΑ· „ κἀντεῦθεν διαφορὰν τῆς αἰτίας τοῦ πνεύματος κατὰ τὴν τῶν προθέσεων τούτων cod. f, 115. a. „ διαφοράν τε καὶ δύναμιν ἐπεισάγουσι· καὶ ἄλλως μὲν αἴτιον ὡς ἐκ τοῦ „ λόγου τὸν πατέρα, ἄλλως δὲ τὸν υἱὸν καὶ φρονοῦσι καὶ λέγουσι· καὶ ἀριθμὸν „ τοῦ λοιποῦ αἰτίων καὶ πλῆθος τοῦ πνεύματος ἐπιφέρουσι· κἂν μυριάκις „ τοῦτο ἀπογορεύωσι τὴν προαναγεγραμμένην ψῆφόν τε καὶ καταδίκην ἐπά- „ γομεν·„ καθεξῆς ἐπισυνείρων τὰ τῆς αὐτῷ σοι καταλλήλως ἐχούσης ἀποφάσεως ῥήματα· τῶν δεόντων ἦν ἐνταῦθα παραδραμεῖν πρὸς ἅπαν σοι τὰ λεγόμενα διαφόρως προτεθέντα, καὶ ἀπεληλεγμένα περιφανῶς· οἷς οὐ μόνον πρὸς ἃ καὶ σπεύδεις· τῷ μεγάλην ἰσχὺν αὐχοῦντι ὁ περὶ τοῦ αἰτίου σοι λόγος στρεφόμενος εἰσαεὶ· κἀντεῦθεν καὶ ἡμᾶς περὶ τὰ αὐτὰ στρέφεσθαι παροτρύνοντι· ἀλλ᾽ ὅτι καὶ αὐτή σοι μέθοδος ἡ ἐνθάδε τῆς ἐννοίας πλειστάκις προδιηγγελμένη καὶ ἀπολελογημένη καθέστηκε· πλὴν ὡς μὴ δόξειε τί σοι φάσκειν, ὃ μὴ πρὸς ἀπολογίαν ἡμῖν εὐπετές, θέα μοι ὃ καὶ φῄς, κοινωνεῖν ἡμᾶς εἰπὼν τοῦ πνεύματος τῷ αἰτίῳ τὸν πατέρα καὶ τὸν υἱὸν δογματίζοντες· φύρδην καὶ συγκεχυμένως συμπεραίνεις πλήθη καὶ διαφορὰς αἰτιῶν· καὶ οὐδὲ συνιδεῖν ὁ ὑψίνους ἔχεις ὡς κοινωνίαν προθεὶς τῷ λόγῳ, καὶ μηδὲν ἐπὶ τῷ ἀποστρέψασθαι τῶν πλαττομένων σοι τοπαράπαν αὐτῇ προσάψας· ἐῶ γὰρ φᾶναι ὅτι καὶ θεηγορίαι διατρανοῦσι πατέρων κατέπος τῶν τοῦ θεοῦ καὶ πατρὸς φυσικῶν ἀγαθῶν οὐσιωδῶς ὄντα τὸν υἱὸν κοινωνὸν ἔχειν τὸ πνεῦμα καθ᾽ ὃν ἂν νοοῖτο τρόπον καὶ ὁ πατήρ· καὶ μηδενὸς τῶν αὐτοῦ δίχα τοῦ τεκεῖν μόνου ἀποστερούμενον· ἀλλοκότως καὶ ἀσυναρτήτως πάντῃ πληθυσμούς τε καὶ διαφορὰς συνάγεις καθ᾽ ἡμῶν αἰτιῶν.

ν΄. Ὅμως σοι πρὸς σύστασιν τούτων· τὸ καθόσον ἔστιν ἧκον εἰς τὴν ΔΙΑ ὃ τῷ πλείσταις καθεκάστην τυραννίσιν καθυπαγωμένῳ σοι πατριάρχῃ λελεγμένον ἐστὶν εἰς δήλωσιν τοῦ κατὰ τὴν ΔΙΑ συνάπτεσθαι τῷ πατρὶ τὸν cod. f. 115. b. υἱὸν ἐπὶ τῇ προόδῳ τοῦ πνεύματος· καὶ ὡς οὐκ ἄλλως ἐπὶ τοῦ θεοῦ τὰ τῆς

ΕΚ καὶ ΔΙΑ εἰλημμένα· ὅτι μὴ κατὰ τὸ αἴτιον· εἰ γὰρ καὶ μυρίας σὺν τοῖς συμμύσταις σφῶν σημασίας αὐτὸς ἐφεύρῃς· οὐχ ἑτέρως ἡ λῆψις αὐτῶν ὅλως τὸ ἀκίνδυνον σχοίη ἐπὶ θεοῦ· ἢ πάνυ καθαρῶς ὡς δεδήλωται· παρὸ καὶ συναφείας οὐ διαιρέσεως ἡ ΔΙΑ παραστατική· τά τε τῆς διαφορᾶς αὖθις αὐτὴ δεικνῦσα τῷ πρὸς τὴν πρώτην αἰτίαν ὁμολογίαν ἔχειν, κατὰ τοὺς οὕτω διευκρινηκότας θεοπρεπῶς· σὺ δ' ὡς κἀντεῦθεν κομίσῃ τὸν ἔλεγχον τοῦ προβολεὺς διὰ λόγου πρὸς τὸ δοκοῦν σοι λαμβανομένου· τῆς τ' ἐκφάνσεως ὑψηλότερον τῆς χορηγίας δι' υἱοῦ διασαφουμένης, τί φαίης ἂν ἐπὶ τῆς ἐνταῦθα ΔΙΑ· οὐκ ἐσμοὺς ἐξ αὐτῆς οὐκ ἀριθμοὺς διενηνοχότας προβολέων συμπερανεῖς, οὐ διαφορᾶς αἰτίων καὶ ποσότητας τῆς ἐκφάνσεως· πάντως ἂν ὁμολογουμένως καὶ ἀναμφηρίστως τὸ κατὰ σέ· καὶ εἴη σοι ταῦτα καὶ τὰ τῆς παραπληξίας σοι πρέποιντο κατὰ κεφαλῆς, ἡμῶν τοῖς τῶν διδασκάλων ἐμμενόντων ὡς ἐρρέθη καὶ διευλητώθη σφίσιν εἰλικρινῶς.

να'. Τὸ τῶν σῶν ἐπὶ τούτοις ὄγδοον μηχανουργημάτων οὕτω συσκευάζεις ὁ ἀψευδής· "Τοῖς αὐτοῖς διατεινομένοις ὅτι ὁ πατὴρ αἴτιος τοῦ ἁγίου πνεύματος
,, οὐ τῷ λόγῳ τῆς ὑποστάσεως, τῷ δὲ λόγῳ τῆς φύσεως· κἀκ τούτου καὶ τὸν
,, υἱὸν αἴτιον ἀναγκαίως ἀποφαινομένοις τοῦ πνεύματος, τὸν αὐτὸν ἔχοντα τῷ
,, πατρὶ τῆς φύσεως λόγον, καὶ μὴ συνορῶσιν ὅσον τὸ ἐνθεῦθεν ἑπόμενον ἄτοπον.
,, δεῖ γὰρ πρῶτον μὲν καὶ αὐτὸ τὸ πνεῦμα αἴτιόν τινος εἶναι τὸν αὐτὸν τῷ πατρὶ
,, τῆς φύσεως δεχόμενον λόγον· δεύτερον δὲ καὶ εἰς πλῆθος προχωρεῖν τὰς
cod. f. 116 a. ,, αἰτίας· ὅσαι γὰρ τῆς φύσεως μετέχουσιν ὑποστάσεις, καὶ τῆς αἰτίας μεθέξουσι·
,, καὶ τρίτον τὴν κοινὴν οὐσίαν καὶ φύσιν ὑποστάσεως αἰτίαν εἶναι· ὅπερ ἅπας
,, ἀπηγόρευσε λόγος καὶ αὐτή γε μετὰ τοῦ λόγου ἡ φύσις· τούτοις ἔκτοπα
,, φρονοῦσι καὶ τῆς ἀληθείας ἀλλότρια, τὴν προαναγεγραμμένην ψῆφόν τε καὶ
,, καταδίκην ἐπάγομεν,, καὶ καθεξῆς ἐπισυνείρων τὰ τῆς αὐτῷ σοι καταλλήλως ἐχούσης ἀποφάσεως ῥήματα· ἴδε πᾶς ὁ τοῖς παροῦσιν ἐντευξόμενος καὶ ἐκπλάγηθι· ὅπως ὁ ἀκάμας οὗτος ταῖς πρὸς εὐθύτητα διαλαλιαῖς, μὴ θεὸς ὡς εἴη θέμενος κατὰ νοῦν, μὴ ἀνθρώπων ὅλως ὑπολογισάμενος νέμεσιν· ἀλλὰ τῷ καθεῖρξαι καὶ ἀφανείᾳ παραπέμψαι τὰ καθ' ἡμᾶς φρουροῖς ἐγχειρίσας ἀπηνέσι τῶν πώποτε τελείαν ἑαυτῷ τῶν ὧν ἐθέλει λέγειν πραγματευσάμενος ἄδειαν πρὸς τοῖς τοσούτοις εἰς ἀνοσιουργίαν, καὶ τὰ τοῦ τόμου τοῦδε ποικίλλει διαφόροις ψεύσμασι καὶ συκοφαντήμασι· νῦν δὲ καὶ ὁλοσχερὲς ἐν αὐτῷ τῆς αὐτοῦ γλώττης καὶ διανοίας καθ' ἡμῶν ἐπὶ διαβολαῖς προδήλοις ἀπαρτίζει κεφάλαιον· μιμούμενος ἐξ ὧν εὐθὺς ἐν προοιμίοις τῆς αὐτοῦ τοῦ κώδικος πραγματείας, διομολογήσας αὐτὸς ἐφάνη, καὶ παρ' ἡμῶν ἐκεῖ σε διήρθρωται, τὸν οἰκεῖον ἀρχηγὸν τοῦ ψεύδους σατὰν, ἀεὶ καὶ πᾶσι, νῦν δὲ μάλιστα τελεώτερον· ἀλλ' ἀμυδρῶς ῥητέον καὶ αὐτὴν αἰτίαν ἐξ ἧς εἰς τὰ τῆς ψευδηγορίας ταύτης ὁ δεινότητι τηλικοῦτος ἐνήλλατο, τῷ ἀποκρυβῆς ἀξίῳ τῆς οἰκείας κακοφροσύνης λόγῳ τὰς ἐκ τῆς οὐσίας τοῦ υἱοῦ μαρτυρούσας εἶναι τὸ πνεῦμα θεηγορίας περιτρέψαι βεβουλημένος, πρὸς τοὺς ἀπὸ κοιλίας συνήθεις κἀνταῦθα

χωρεῖ πρὸς διορισμούς· ἀμέλει τοι χρήσεων διαῤῥήδην τῶν πατρικῶν, τῶν μὲν ἐκ τῆς τοῦ πατρὸς οὐσίας, τῶν δὲ ἐκ τῆς τοῦ υἱοῦ ἰδίᾳ· καὶ αὖ ἐκ τῆς τοῦ cod. f. 116. b. πατρὸς καὶ υἱοῦ οὐσίας ἡνωμένως πνεῦμα θεολογουσῶν τὸ ὑπερτελὲς· νομοθετεῖ διαιρῶν ἐπί τε ταῖς ἰδίᾳ καὶ ἡνωμένως καὶ πάσαις ὁμοῦ· τὸ μὲν ἐκ τῆς οὐσίας τοῦ πατρὸς καὶ ἐκ τῆς ὑποστάσεως ἄρα δηλοῦν, τὸ δ' ἐκ τῆς τοῦ υἱοῦ οὐδαμῶς· καὶ τὴν ὑπόστασιν αἰτίαν εἶναι οὐ τὴν οὐσίαν διϊσχυρίζεται· διὰ τὸ ἐκ μὲν ταύτης τρανοῦσθαι τὸ ὁμοούσιον, ἐκ δ' ἐκείνης τὸ αἴτιον λόγῳ χωρίζων οὐσίαν ὑποστάσεως ὡς ἀγχοῦ διελήφθη. κἀκ τῆς οὕτω θεωρουμένης ὑποστάσεως τοῦ πατρὸς τὴν διάφορον ὕπαρξιν ἀπονέμων τῷ υἱῷ καὶ τῷ πνεύματι τότ' ἐκ τῆς οὐσίας τοῦ υἱοῦ τοῦτο εἰρῆσθαι, δίχα νοουμένης τῆς ὑποστάσεως κατὰ λόγον ὁμοουσιότητος ἐντελλόμενος.

νβ'. Κἀπειδὴ ταῦθ' ὁ σοφὸς πατριάρχης μάθοι τό θ' ὑπερβάλλον ἀπελέγξοι τῆς βλασφημίας, τὸ μὲν τοῖς προβάσι δικαστηρίος, ὡς ὁ τῇ δυναστείᾳ συγκεκροτημένος καιρὸς παράσχοι, τὸ δὲ καὶ λόγοις ἑτέροις ἐκφαντικώτερον συνειδὼς ὁ τούτων καὶ τῶν τοιούτων γεννήτωρ, ὅπηπερ ἀτοπίας προβαίη, κακῷ τὸ κακὸν συσκιάσαι δολίως ἐπείγεται, τῷ λόγῳ μὲν αὐτὸς τῆς ὑποστάσεως οὐ τῆς φύσεως αἴτιον υἱοῦ καὶ πνεύματος τὸν πατέρα διδάσκων. ἡμῖν δὲ τὸ πρὸς κακίαν ἰσόμετρον ἐπιῤῥίπτων, κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται τὸ τῷ λόγῳ τῆς φύσεως οὐ τῆς ὑποστάσεως αἴτιον τὸν πατέρα πρεσβεύειν εἶναι τοῦ πνεύματος· ἀπόχρη μὲν οὖν φρονήματος ὅπως ἡμεῖς ἔχομεν περὶ τούτου πρὸς τράνωσιν, ἃ τῷ τοῦ σύνεγγυς ἀνωτέρῳ κεφαλαίῳ προδιειλήφαμεν· ἀπόχρη δὲ καὶ τῆς τούτου γλωσσαλγίας ὅσα περ ἐκεῖσε πρὸς θρίαμβον ἀντιπαρεθήκαμεν, ὅπως τε πρὸς τούτοις μαινομένου δίκην αὐτὸς ἑαυτὸν συμποδίζει καὶ ἀναιρεῖ καιριώτατα· νῦν δ' ἐκ τῶν οἷς οἴδαμεν ἐνστηρίζεσθαι βραχείας ἐκ πολλῶν μαρτυρίας περάζομεν, μεγαληγόρως αἰτίαν κηρυττούσας οὐσίαν cod. f. 117 a. τὴν πατρικὴν· καὶ αὖ ἑτέρας ἐκ πατρὸς λεγούσας· ὅπερ ὑποστατικὸν ὄνομα πάντως καὶ σαφανιζούσας τὸ ὁμοούσιον· ὡς ἂν ἑκατέρωθεν ἀντιπρόσωπον σταίη τῷ νέῳ νομοθέτῃ ἐπινοιῶν ἰδίων τὸ ἀποτρόπαιον. αὐτίκα τοίνυν Ἀθανάσιος ὁ πολύαθλος· "οἱ τὴν Ἀρειανὴν αἵρεσιν ἀναθεματίσαντες, φάσκει, γινώ„ σκοντές εἰσι μὴ κτίσμα, ἀλλ' ἐκ τῆς οὐσίας γέννημα εἶναι τὸν λόγον· καὶ τὴν „ οὐσίαν τοῦ πατρὸς ἀρχὴν καὶ ῥίζαν καὶ πηγὴν εἶναι τοῦ υἱοῦ·„ ὁ αὐτὸς· "οὐ τὸ „ μὴ γεννᾶσθαι τὸν θεὸν τῶν οὐσιῶν αἴτιον, ἀλλ' ἡ οὐσία τῶν οὐσιῶν αἰτία·„ ἡ στεῤῥὰ τῶν δογμάτων βάσις, Βασίλειος ὁ κλεινὸς "οὐκ ἀδελφὰ λέγομεν „ τὸν πατέρα καὶ τὸν υἱόν· ἀλλὰ πατέρα καὶ υἱὸν ὁμολογοῦμεν· τὸ δὲ τῆς „ οὐσίας ταὐτόν· ἐπειδὴ ἐκ τοῦ πατρὸς ὁ υἱός·„ Κύριλλος ὁ πολύς· "τὸ ἐκ „ τοῦ πατρὸς γεγεννῆσθαι τὸν υἱόν, ἀναγκάσει δὴ πάντως καὶ οὐχ ἑκόντας „ ἡμᾶς ἀποδοῦναι τὸ ὁμοούσιον αὐτῷ· „ ἐντεῦθεν ἀμφοτέρωθεν ἐναργὲς τῷ τοῖς θείοις οἴκοθεν ἐπιπηδῶντι τῆς οἰκείας παρανοίας τὸ μάταιον. ὥσπερ οὖν τὴν τοῦ πατρὸς οὐσίαν ἀρχὴν καὶ ῥίζαν καὶ πηγὴν εἰρηκότες οἱ θεοφόροι, ἐνυπόστατον αὐτὴν διετράνωσαν· οὕτως ἐκ τοῦ παρὰ πατρὸς γεγεννῆσθαι τὸν

υἱόν, τὸ ταυτὸν τῆς οὐσίας τεθεολογηκότες τὴν ἐξ ἐνουσίου πατρικῆς ὑποστάσεως αἰτίαν παρέδοσαν· καὶ οὐκ ἔστι τὸ ἐκ τῆς οὐσίας μὴ καὶ ἐκ τῆς ὑποστάσεως εἶναι· καὶ αὖ τὸ ἐκ τῆς ὑποστάσεως μὴ καὶ ἐκ τῆς οὐσίας ἀριδηλότατα· κἀντεῦθεν τὸ ἐκ τῆς οὐσίας τοῦ υἱοῦ μὴ διὰ τῆς ἐνυποστάτου οὐσίας
cod. f. 117. b. τρανοῦσθαι, καὶ αἴτιον δι' αὐτοῦ τὸν πατέρα γνωρίζεσθαι· τῷ μέν τοι νέῳ δογματιστῇ τοιαῦτα βλασφημοῦντι καὶ διαβάλλοντι, συγκαταλύεται τούτοις καὶ ὅσα τῶν ἀτόπων ἀδολεσχῶν ἐστι καθ' ἡμῶν· τό τε πρῶτον τὸ δεῖν καὶ αὐτὸ τὸ πνεῦμα αἴτιόν τινος εἶναι, ἐκ τοῦ μὴ γεννητικὸν ἢ προβλητικὸν ἀναφανῆναί που· συμπληρωτικὸν μὲν οὖν τῆς τριάδος, ἀλλ' οὐ δὲ μὴν αἴτιον ἐξέσται τούτῳ δι' αὐτοῦ συναγαγεῖν τὸν πατέρα, ὅπερ αὐτοί φαμεν ἐπὶ τοῦ υἱοῦ· ἐπεὶ μὴ εἰρημένον ὅλως, μήτε μὴν ὡς δι' αὐτοῦ προβολεύς τινος ὁ πατήρ, ἢ ἐκ τῆς τοῦ πατρὸς καὶ αὐτοῦ οὐσίας πρόσωπον ἕτερον. ἄμφω δὲ πάλιν τὰ ἐφεξῆς, οἷς τῶν ἀναγεγραμμένων αἰτιῶν τὰ τοῦ πληθυσμοῦ, καὶ τὰ τῆς κοινῆς οὐσίας· ὅπως αὐτῷ παρείληπται, διελήλεγκται· ἣν κἀνταῦθα κακοσχόλοις ἐμφάσεσι παρενείρειν καὶ μετέχειν αὐτῆς τὰς ὑποστάσεις διαγορεύει τρανότερον.

νγ'. Ἔννατον ἀγῶνα συντίθεται τοῦ λοιποῦ τὸν οὕτω κατὰ λέξιν διαλαμβάνοντα "τοῖς αὐτοῖς λέγουσιν ὥσπερ ἐπὶ τῆς δημιουργίας ἡ δι' υἱοῦ φωνὴ „ δήλωσιν μὲν τῆς προκαταρκτικῆς αἰτίας ἔχει· οὐ μὴν δὲ καὶ τὸν υἱὸν διαιρεῖ „ τοῦ δημιουργὸν καὶ αἴτιον εἶναι τῶν δι' αὐτοῦ γεγονότων κτισμάτων· οὕτω „ δὴ καὶ ἐπὶ τῆς θεολογίας αὐτῆς, εἰ καὶ ἀρχικὸν αἴτιον ὁ πατὴρ υἱοῦ καὶ „ πνεύματος λέγεται, καὶ διὰ τοῦ υἱοῦ τοῦ πνεύματός ἐστιν αἴτιον· οὐκ ἂν „ διαιρεθείη τοῦ πατρὸς ὁ υἱὸς ἐπὶ τῇ προόδῳ τοῦ πνεύματος· ταῦτα δὲ „ λέγουσι· καὶ τῷ πατρὶ παραλόγως τὸν υἱὸν ἐπὶ τῷ τοῦ πνεύματος αἰτίῳ „ συνάπτουσιν· οὐδὲ γὰρ εἰ δημιουργὸς ὁ υἱὸς τῶν δι' αὐτοῦ γεγονότων „ ὥσπερ καὶ ὁ πατήρ, ἤδη καὶ τοῦ πνεύματος αἴτιος· ὅτι προβολεὺς τοῦ „ πνεύματος δι' αὐτοῦ υἱοῦ ἐστιν ὁ πατήρ· οὐδὲ πάλιν ὅτι προβολεὺς τοῦ „ πνεύματος διὰ τοῦ υἱοῦ ἐστὶν ὁ πατήρ· ἤδη καὶ δι' αὐτοῦ αἴτιός ἐστι „ τοῦ πνεύματος· τὴν γὰρ εἰς ἔκφανσιν ἐνταῦθα καὶ ἔκλαμψιν, οὐ τὴν εἰς „ τὸ εἶναι πρόοδον ἡ ῥῆσις περίστησιν· ἢ γὰρ ἂν οὐκ εὐαρίθμητα ἐτύγχανεν ὄντα „ ὅσα ἐντεῦθεν συνάγεται ἄτοπα· πλὴν τούτοις ἀλογίστως ταῦτα λέγουσι·
cod. f. 118. b. „ καὶ τοῖς τῶν ἁγίων ῥήμασιν ἐπιφυομένοις καὶ βλασφημιῶν ἐντεῦθεν ἐνακινοῦσιν ἑσμόν, τὴν προαναγεγραμμένην ψῆφόν τε καὶ καταδίκην ἐπάγο„ μεν." ἐφεξῆς ἐπισυνάπτων τὰ τῆς αὐτῷ καταλλήλως ἐχούσης ἀποφάσεως, ῥήματα· ὁ μὲν ἀφ' ἑαυτοῦ φωνῶν ἅπερ ἐθέλει τοῦ λέγειν ἀδείᾳ μέσοις ἐν δικαστηρίοις σὺν τοῖς ὑπασπισταῖς πλείστας φωνὰς κενώσας πλήθεσιν ἐξ ὧν ὡς ἐνθείη, καὶ τοῖς ἄλλως ἀπερισκέπτως ἀκροωμένοις· εἰ καὶ μὴ συνιεῖσι τὰ περὶ τούτων ἐφ' ὅσον εἰκὸς τῇ δι' υἱοῦ προαγωγῇ τῶν κτισμάτων, τὴν δι' υἱοῦ πρόοδον ὡς ἐπίπαν τοῦ πνεύματος, ἡμᾶς παραβάλλειν· ἤχοις ἅτε λόγων καὶ τρόποις ἁπλῶς παντοίοις φρεναπατᾶν πάντας καὶ κυκᾶν καθ' ἡμῶν

μηχανώμενος· νῦν κἀνταῦθα κραυγάζει πρὸς τὸ εὐπρεπέστερον λογογραφήσας ἄλλως ὡς βουλητόν· ἡμῖν δὲ ἐπείπερ οὐδὲν ἐκφωνούμενον ὅλως, ὃ μὴ τοῖς τῶν πατέρων ἐρηρεισμένον τρανῶς παραχθήσεται, καὶ πρὸς τοῦτο τῶν Νυσσαέων ὁ μέγας λαμπτὴρ, αὐτὸς τὰ περὶ τοῦδε διευλυτῶν καὶ λαμπρῶς οὕτω σαφηνίζων ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον· ,, τὸ πνεῦμα τῷ πατρὶ κατὰ ,, τὸ ἄκτιστον συναπτόμενον, πάλιν ἀπ' αὐτοῦ τῷ μὴ πατὴρ εἶναι καθάπερ ,, ἐκεῖνος διαχωρίζεται· τῆς δὲ πρὸς τὸν υἱὸν κατὰ τὸ ἄκτιστον συναφείας, ,, καὶ ἐν τῷ τὴν αἰτίαν τῆς ὑπάρξεως ἐκ τοῦ θεοῦ τῶν ὅλων ἔχειν· ἀφίστα- ,, ται πάλιν τῷ ἰδιάζοντι ἐν τῷ μήτε μονογενὲς ἐκ τοῦ πατρὸς ὑποστῆναι, ,, καὶ ἐν τῷ δι' αὐτοῦ τοῦ υἱοῦ πεφηνέναι· πάλιν δὲ τῆς κτίσεως διὰ τοῦ ,, μονογενοῦς ὑποστάσης ἕως ἂν μὴ κοινότητά τινα πρὸς ταύτην ἔχειν νο- ,, μισθῇ τὸ πνεῦμα, ἐν τῷ ἀτρέπτῳ καὶ ἀναλλοιώτῳ διακρίνεται τὸ πνεῦμα ,, ἀπὸ τῆς κτίσεως· ,, διὰ τοῦ υἱοῦ τὸ πνεῦμα, καὶ διὰ τοῦ υἱοῦ τὴν κτίσιν ὁ μέγας δογματίζει διαφανῶς· εἶτα κοινότης τις ὡς μὴ νομισθείη τοῦ πνεύματος πρὸς αὐτὴν· ἐν τῷ ἀτρέπτῳ καὶ ἀναλλοιώτῳ τὴν διαφορὰν περιίστησι, cod. f. 118. b. μονονουχὶ λέγων, εἰ καὶ ἀμφότερα δι' υἱοῦ· ἀλλ' οὖν τὸ πνεῦμα φυσικῶς ὂν, ἄτρεπτον ἐστί τε καὶ ἀναλλοίωτον, ὅσα καὶ ὁμοούσιον· αὕτη δ' οὖσα ποιητικῶς, τρεπτὴ καθίσταται καὶ ἀλλοιωτὴ, ὅσα καὶ δημιούργημα· καὶ ἡμεῖς τοῖσδε πειθόμεθα κατὰ πᾶν ὡς ἐλέχθη· καὶ τὸ διαλλάττον ὡς παρεδόθη κατέχομεν· τὴν ΔΙΑ μιᾶς ἐπὶ τοῦ υἱοῦ δυνάμεως εἰδότες πανταχόσε καὶ διαρθρώσεως, μεσιτείας δηλονότι σημαντικὴν, πρός τε τὸ πρῶτον αἴτιον ἀναφορικήν· ὅτι δὲ τοῦτο κἀπὶ τῇ προόδῳ τοῦ πνεύματος ὁ θεόφρων οὗτος οἶδε πατὴρ, ἐξ ἐκείνων ἔτι πάρεστι τηλαυγὲς, ἐξ ὧν ἐκ τοῦ πρώτου καὶ τῆς αἰτίας· εἴγε πρῶτον αἴτιον τὸ οὕτω θεολογούμενον· τὸν μὲν υἱὸν προσεχῶς· τὸ δὲ πνεῦμα δι' αὐτοῦ θεσπίζει τορῶς· καὶ τὴν τοῦ υἱοῦ κηρύττει μεσιτείαν θεοπρεπῶς.

νδ'. Ἀλλ' ὁ καθ' ἡμῶν ἀκαθέκτως κεκινημένος ἐπὶ τῇ δι' υἱοῦ θεηγορίᾳ τοῦ παρακλήτου ταυτὶ κακίζων, ὡς ἀπόβλητα διαφημίζειν καὶ βλάσφημα, οὐκ οἶδεν ἐπὶ τῆς ἐνούσης αὐτῷ μανίας τεθολωμένος· κατὰ τινῶν ὁ ματαῖος ὑλακτεῖ, ὡς καὶ τῶν συλληπτόρων οἱ πρώτιστοι τούτου πρὸς τὰς τοιουτωδῶς ἐχούσας πατρικὰς διδασκαλίας ἀντιφερόμενοι, καὶ ῥιζόθεν ταμεῖν ἐπισπεύδοντες· φθάνουσιν ἔν τισι σφῶν συγγράμμασι μεγαληγόρως ἀποφηνάμενοι μηδαμῶς υἱοῦ καὶ πνεύματος καὶ τῆς κτίσεως αἴτιον ἡνωμένως ὀνομάζεσθαι τὸν πατέρα, ἤπου τὸ παράπαν εὑρίσκεσθαι· καὶ οὐδὲ συνιδεῖν ἠβουλήθησαν πηρωθέντες ὑπὸ κακίας, ὡς κατὰ στόμα σφίσι προσαπαντᾷ τῶν δογμάτων ἡ κρηπὶς Ἀθανάσιος· " αἰτία ἐστὶ ἡ τοῦ θεοῦ φύσις καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύ- ,, ματος, καὶ τῆς κτίσεως ἁπάσης ,, διδάσκων· εἶτα τοῦ μὲν υἱοῦ καὶ τοῦ cod. f. 119. a. πνεύματος φυσικῶς, τῆς δὲ κτίσεως ἐπάγων ποιητικῶς. οὕτως αὐτοὺς Ἀριστοτέλεις καὶ Πλάτωνες ἐξεπαίδευσαν, οἷς τῷ πρὸς ὀλίγον ἐνδιατρίψαι μεγαλαυχοῦσιν ἑλληνίζειν, ὡς ἐγκαυχᾶσθαι χριστιανίζειν ἡμῖν ἐξεγένετο· τέως γε μὴν ὁ στρο-

φαῖς λόγων περικλεὴς· ὡς ἂν παρέργως καὶ τοῦτο θεωρηθείη· „ εἰ καὶ ἀρχικὸν „ αἴτιον ὁ πατὴρ υἱοῦ καὶ πνεύματος λέγεται, καὶ διὰ τοῦ υἱοῦ τοῦ πνεύ- „ ματός ἐστιν αἴτιος, οὐκ ἂν διαιρεθείη τοῦ πατρὸς ὁ υἱὸς ἐπὶ τῇ προόδῳ „ τοῦ πνεύματος ἡμᾶς ὡς φάσκοντας αἰτιώμενος,, ἴστω μὴ εὐσυνθέτως, ὅτι μὴ κακοσυνθέτως μᾶλλον τὰ τῇδε συντεθεικώς· εἰ μὲν γὰρ εἰώθει τινὰ τῶν ἡμετέρων καταστρωννύειν ὅ-τε τάχ' ἂν ἔδοξεν ὡς σύνθεσιν ἡμετέραν, οὕτω ταῦτα τιθείς· ἐπεὶ δ' οὐ τοῦτο, ἀλλ' αὐτοῦ γε ἰδίᾳ· δέον εἰ καὶ ἀρχικὸν αἴτιον ὁ πατὴρ υἱοῦ καὶ πνεύματος φάμενον εἰρηκέναι· ἀλλ' ἐπεὶ διὰ τοῦ υἱοῦ, ὁ δὲ καὶ διὰ τοῦ υἱοῦ τοῦ πνεύματός ἐστιν αἴτιος· οὐκ ἂν διαιρεθείη τοῦ πατρὸς ἔφησεν ὁ υἱός· πλὴν ἡμεῖς ἀδιαίρετον τοῦτον ἐπὶ τῇ εἰς τὸ εἶναι προόδῳ τοῦ πνεύματος οἴδαμεν τῷ πατρί· ἐπειδήπερ αὕτη τεθεολόγηται δι' αὐτοῦ· ὁ δὲ διαιρῶν τὰς κατασκευὰς ἐπιφέρει ὁποίας· οὐ δὲ γὰρ εἰ δημιουργὸς ὁ υἱὸς τῶν δι' αὐτοῦ γεγονότων, ὥσπερ καὶ ὁ πατὴρ, ἤδη καὶ τοῦ πνεύματος αἴτιος, ὅτι προβολεὺς τοῦ πνεύματος δι' αὐτοῦ ἐστιν ὁ πατὴρ δημιουργὸν τὸν υἱὸν διδαχθέντες, καὶ δι' αὐτοῦ τὰ τῆς δημιουργίας μαθόντες· οὕτω καὶ φρονοῦμεν καὶ λέγομεν δι' υἱοῦ τὴν φυσικὴν καὶ ἀΐδιον ὕπαρξιν τοῦ πνεύματος μυηθέντες· εἴγε τοῦθ' ὁ διάφορος αὐτοῦ τρόπος τῆς οὐσιώσεως ἐξ αὐτοῦ τούτου τῆς τ' ἀγχοῦ τοῦ Νύσσης ἐντελῶς διηρθρωμένης ὑψηγορίας· ἔτι τε τῶν
cod. f. 119 b. λοιπῶν ὡσαύτως ἑτέρων, καὶ τοῦ, ὅτι προβολεὺς τοῦ πνεύματος δι' υἱοῦ ἐστὶν ὁ πατὴρ, αἴτιον δι' αὐτοῦ τὸν πατέρα τοῦ πνεύματος καταγγέλλομεν, εὐλαβῶς πρὸς ἅπαν τοῖς οὕτω παραδιδοῦσιν ἑπόμενοι· ὁ δὲ δεσποτικώτερον εἰσέτι διαταττόμενος αὖθις φησίν· „ οὐδὲ πάλιν ὅτι προβολεὺς τοῦ πνεύμα- „ τος διὰ τοῦ υἱοῦ ἐστὶν ὁ πατήρ· ἤδη καὶ δι' αὐτοῦ αἴτιός ἐστιν τοῦ „ πνεύματος.,,

νϛ'. Ὦ γενναῖε καὶ τὴν ἰσχὺν ἀπαράμιλλε. πυνθάνομαι γάρ σε καὶ πάλιν· πόθεν αἱ πρὸς ταῦτα σοι δείξεις, ἐκ τίνων διδασκάλων, ἐκ ποίων χρήσεων γραφικῶν, ἢ εἰ μὴ τοῦτο, κατασκευάζειν δέ σοι τοῖς περὶ θεοῦ λόγοις ἀπὸ κοιλίας, καὶ οἴκοθεν δοίημεν; ποῖον σοι τὸ ποσῶς κἂν ἔνθεν εἰς ψιλὴν φαντασίαν ἧκον λόγου τε καὶ παραδοχῆς; οὐ γὰρ εἰ τόδε ἤδη τοῦτο βοῶντι, καὶ αὖ οὐκ εἰ τοῦτο, ἤδη ἐκεῖνο ἐπάγοντι, καὶ ἀποχρώντως οὕτω δεικνύοντι τὸ δοκοῦν· οὐ κατασκευάζοντος ταῦτα, παρακελευομένου δὲ μᾶλλον, καὶ αὐθεντικώτερον ἀποφαινομένου καὶ ἐπιτάσσοντος. καὶ οὐαὶ τοῖσδε τῷ πειθομένῳ σὺν σοί· διὰ μέσου δὲ τῷ μεγάλῳ εἰς ἀπλὴν εἰλημμέναι σοι τὰ τοῦ προβολέως διάνοιαν, ἡνίκα τὸ προβάλλον ἐφυσιολογεῖτο καὶ προβαλλόμενον· πῶς ἐπ' αὐτοῖς ὡς τὸ πρὶν ἀρτίως ἡ ἀναιρετικὴ τῆσδε σημασία σοι παραδίδοται· βοᾷ σοι τὰ πρὸς ἀπολογίαν αὐτόχρημα· αὐτὰ δή σοι τὰ τούτοις διαφόρως ἐφαρμοττόμενα· ἔστι μὲν ὡς τὰ περὶ τῶνδε λαμβάνειν· ἔστι δ' ὡς, ἡνίκα καὶ ὡς σοι καθέστηκε βουλητόν· καὶ εἰ μὴ ἐπὶ μᾶλλον ἐντεῦθεν σοι τὸ οὐαί. σκεψάσθω τούτων ὁ εὐθυδρόμως βαίνων διαιτητὴς, ποῦ δέ σοι τῷ πολυσχιδεῖ τὰ θεῖα καὶ πολυγνώμονι, καὶ αἱ ἐκφάνσεις αἵδε καὶ αἱ ἐκλάμψεις

ἀρκέσουσιν· ὅπως δὲ καὶ ληφθήσονται· τό τε ἐξ υἱοῦ καὶ δι' υἱοῦ φυσικῶς ὑπάρχειν τό τ' ἐκπορεύεσθαι τό τε προβολεὺς ὡσαύτως πρὸς αὐτὰς με- cod. f. 120. a. τατιθεμένῳ καὶ μεταβάλλοντι. καὶ νῦν μὲν τὸ ὑπάρχειν εἰς τὸ ἐκλάμπειν· νῦν δὲ τὸ ἐκλάμπειν οὐκ εἰς τὸ ὑπάρχειν ὁριζομένῳ· εἴτε τὴν ἔκλαμψιν οὐχ ὕπαρξιν φῂς, ἐξ οὗ καὶ τὸ ἐκλάμπειν οὐχ ὑπάρχειν ἐναργῶς κατὰ τὸ ἀκόλουθον. καὶ πῶς ὡς εἰς ταυτοδύναμον τοῦτο ἐκεῖνο σοι ἐκλαμβάνεται· εἰ μή που πάλιν προσδιορισμοὺς πλαστουργήσεις, ὡς ἐκεῖ τὸ ὑπάρχειν καὶ τὴν ὕπαρξιν ἑτεροσήμαντα πάντη παραδιδούς. οὕτως ἐνταυθοῖ τὸ ἐκλάμπειν καὶ τὴν ἔκλαμψιν ταυτοσήμαντα· πλὴν καθ' ἑτέραν αὖθις διαστολὴν, ἄμφω δὴ ὄνομα καὶ ῥῆμα ταυτὶ, ῥήματι τὸ ὑπάρχειν ἐκείνῳ συντρέχειν, ἀντικεῖσθαι δὲ τούτου γε τῷ ὀνόματι· καὶ οὕτω σοι τὸ συγχεῖν καὶ πρὸς ἄλληλα φύρδην ἐμπεριχωρεῖν τάδε κελεύειν, καὶ αὖ ἐναντιοφωνεῖν ῥάδιον καὶ εὐεπιχείρητον· τόση δ' ἡ τοῦ περὶ οὗ ὁ λόγος ἰσχὺς, ὡς καὶ ἐξ αὐτῶν ὧν ἐπινοῇ μυρίων τὰ πρὸς περιτροπὴν αὐτῆς καὶ ἀφάντωσιν, τὸ εἰλικρινὲς αὐτῆς ἀναδείκνυται καὶ περίοπτον. καθὰ δὴ κἀκ τῶνδε τῶν ἐκφάνσεων καὶ ἐκλάμψεων ὡς οἱ πατέρες εἰληφότες εἰσὶν εἰλημμένων, καθὼς ἐν ἑτέροις λόγων τῶν ἡμετέρων σαφῶς παρεστήσαμεν.

νζ'. Καὶ ἦν ἄν σοι συνοῖσον, εἰ μὴ περαιτέρω τῶνδε προβαίνων, ὅσα μὴ συγκροτούσας σφᾶς πρὸς τὰ τοῦ σκοποῦ συνερῶν· ἀνέδην ὑπὸ μανίας καὶ πρὸς ἀποφάσεις καὶ ἀναιρέσεις ἐχώρεις· "οὐ τὴν εἰς τὸ εἶναι πρόοδον ἡ ῥῆσις „ παρίστησι „ κράζων ἀναφανδὸν. ἀλλὰ σοὶ καὶ πρὸς ταῦτα κατέπος ὁ τῆς ἀθανασίας κατὰ φερονυμίαν μέγας κληροῦχος εὐπροβλέπων ἕστηκεν ἀντιμέτωπος, δι' υἱοῦ προοδικῶς εἶναι θεσπίζων, ἐν οἷς οὕτω φράζει θεηγορῶν. "ἦν cod. f. 120. b „ δὲ ἀδύνατον ἐν τῇ τῆς τριάδος δόξῃ τὸ πνεῦμα δοξάζεσθαι μὴ προοδικῶς „ ὂν ἐκ θεοῦ δι' υἱοῦ· ἀλλὰ ποιητικῶς γεγονὼς ὡς λέγουσι. „ Καὶ σὺ μὲν ἐπεί σοι πρὸς πάντα τὸ ἀντιβαίνειν· εἰς ἄρθρον τὸ τὸ καταφεύξῃ· μὴ οὕτω πῶς εἰς τὸ εἶναι φιλονεικῶν τὸν πατέρα ἐρεῖν ἐκ τῆς ἐπαγωγῆς δ' ὁ θεοειδὴς τὴν ὡς ποίημα δι' υἱοῦ τοῦ πνεύματος ὕπαρξιν ἀποσκευασάμενος. οὐ γὰρ τολμήσεις εἰπεῖν ὡς οὐ περὶ ταύτης ὁ λόγος αὐτῷ καὶ τὴν προτεθεῖσαν δι' υἱοῦ εἰς τὸ εἶναι φυσικὴν αὐτοῦ πρόοδον ἐντεῦθεν βεβαιωσάμενος· ἐμφράττει σου πᾶν κατὰ τῆς ἀληθείας καὶ ῥῆμα καὶ διανόημα φίλερι· καταγέλαστον δὲ σοῦ ποιεῖται πρὸς τοῖς τοσούτοις ἀναντιρρήτοις εἰς δεῖξιν, καὶ ἣν ἐπὶ τῇ ἐφ' ἑαυτοῦ σοι φωνηθείσῃ τῇδε τῆς ἐξηγήσεως ἀποφάσει θαυμασίαν κατασκευὴν ἐπάγεις. ἢ γὰρ ἂν οὐκ εὐαρίθμητα ἐτύγχανεν ὄντα φάσκων, ὅσα ἐντεῦθεν συνάγεται ἄτοπα· καὶ τούτοις ἀντὶ πατρικῆς πάσης ἢ καὶ γραφικῆς μαρτυρίας ἀρκούμενος, καὶ γενναίας ἁπάσης ἀντιλογικῆς ἀποδείξεως· καὶ εἰ τοῦτο εὐπετές σοι καὶ λοιπὸν ἅπαν δόγμα τῶν κειμένων οὕτως ἀνασκευάζειν· εἴγε καὶ ἡ ἐφ' ᾗ σοι ταδὶ ῥῆσις τῶν κειμένων κατὰ τὸ τῆς ἐννοίας ταύτης εἰλικρινὲς τῇ ἐκκλησίᾳ καθέστηκεν.

νη'. Ἀλλὰ λέγε σοι καὶ τὸ δέκατον τῶν καθ' ἡμῶν ἐπιχειρημάτων· οὕτω δὴ καὶ τοῦτο συνθέμενος· "τοῖς αὐτοῖς· ὅτι καθ' ὃν τρόπον πηγὴ ζωῆς ἡ

,, παρθένος καὶ θεοτόκος ὀνομάζεται, οὕτω δὴ καὶ υἱὸς πηγὴ ζωῆς ὀνομά-
,, ζεται λέγουσιν· ἡ δὲ παρθένος οὕτω λέγεται διὰ τὸ τῷ μονογενεῖ λόγῳ
cod. f. 121. a. ,, ἔμψυχον σάρκα δανεῖσαι ψυχῇ λογικῇ τε καὶ νοερᾷ· καὶ αἰτία αὐτοῦ τοῦ
,, κατὰ χριστὸν ἀνθρώπου γενέσθαι· καὶ ὁ υἱὸς ἄρα τοῖς τὴν ζωὴν εἰς τὸ
,, πνεῦμα τὸ ἅγιον ἐκλαμβάνουσι κατὰ τὸν τῆς αἰτίας λόγον εἰρῆσθαι πηγὴ
,, ζωῆς νοηθήσεται· τούτοις ἐξ ἀνοικείων οὕτως ὁμοιώσεών τε καὶ ὑποδειγμά-
,, των τὰς ἀποδείξεις τοῦ κοινωνεῖν τῷ πατρὶ τὸν υἱὸν ἐπὶ τῇ ὑπάρξει τοῦ
,, πνεύματος ποιουμένοις. καὶ γὰρ οὐχ ὡς ἡ παρθένος πηγὴ ζωῆς εἴρηται,
,, οὕτω δὴ καὶ ὁ μονογενὴς τοῦ θεοῦ λόγος πηγὴ ζωῆς ὀνομάζεται· εἴπερ
,, ἐκείνη μὲν ὅτι ἐξ αὐτῆς ἡ ὄντως ζωή, αὐτὸς ὁ τοῦ θεοῦ λόγος καὶ θεὸς
,, ἀληθινὸς ἐγεννήθη κατὰ τὸ ἀνθρώπινον· καὶ αὐτή γε τῆς θείας σαρκὸς αὐτοῦ
,, ὑπῆρξεν αἰτία· ὁ υἱὸς δὲ πηγὴ ζωῆς, ὅτι τοῖς ὑπὸ τῆς ἁμαρτίας νενεκρωμέ-
,, νοις ἡμῖν αἴτιος ὑπῆρξε ζωῆς· καὶ ὥσπερ τί ῥεῦμα ταύτην ποταμοῦ τοῖς
,, πᾶσιν ἐπήγασεν· καὶ ὅτι τοῖς εἰς αὐτὸν πιστεύουσιν ὡς ἀπὸ πηγῆς αὐτοῦ
,, καὶ δι' αὐτοῦ χορηγεῖται τὸ πνεῦμα· καὶ αὐτή γε ἡ χάρις ἀναβλύζει τοῦ
,, πνεύματος· ἤ τις οὐδὲν καινὸν οἶδε, τῆς τῶν γραφῶν συνηθείας ἀλλότριον
,, ἐὰν ἅγιον ὁμωνύμως πνεῦμα καλεῖται· οἰκειοῦται γάρ ἐστιν ὅτε καὶ ἡ ἐνέρ-
,, γεια τοῦ ἐνεργοῦντος τὴν κλῆσιν· ὥσπερ δῆτα καὶ ἥλιον πολλάκις τὴν τοῦ
,, ἡλίου αὐγὴν καὶ λαμπηδόνα λέγειν οὐκ ἀναινόμεθα. τούτοις οὕτω συμπε-
,, ραίνειν καὶ συμβιβάζειν τὰ μηδ' ὅλως πεφυκότα φιλονεικοῦσι, τὴν προ-
,, αναγεγραμμένην ψῆφόν τε καὶ καταδίκην ἐπάγομεν. ,, ἐφεξῆς ἐπισυνάπτων
τὰ τοῖς αὐτῷ σοι καταλλήλως ἐχούσης ἀποφάσεως ῥήματα.

νθ'. Σκόπει μοι καὶ πάλιν ὁ ἐπεσκεμμένως ποιεῖσθαι τὴν τῶν παρόντων
cod. f. 121. b. λόγων βάσανον εἰληχώς· ὅπως ὁ πολύτλας οὗτος καθ' ἡμῶν δραξάμενος ὑπο-
θέσεως, καθ' ἣν αὐτῷ μὲν πρὸς τῇ τῶν κρατούντων ἰσχύϊ, καὶ τὸ λαοῖς
συγκροτεῖσθαι καὶ πλήθεσιν· ἡμῖν δὲ τὸ ἀπωθεῖσθαι, οὐ τῇ ἐντεῦθεν ἡλίκῃ
ῥοπῇ, καὶ τῇ τοῦ λέγειν, ἐξ ὧν ἡ σύστασις δυνάμει γραφικῶς ὡς ἀπαγὰν
οἴεται ἀποδείξεων· ψόφοις κομπάζων φωνῶν πρὸς τὰς καθ' ἡμῶν εὐθύνας,
καὶ τοὺς ἀγῶνας τὸ ἱκανὸν ἔχειν ἡγεῖται· ἀλλὰ καὶ ψεύδεσιν ἑαυτὸν καὶ
λόγων σκολιότησι πεποιθότα παρίστησι· παρίημι γὰρ ὅτι καὶ μᾶλλον τού-
τοις ἢ τοῖς προεκτεθεῖσι τῶν εἰρημένων ἐρεῖν· ὅπερ αὐτὸς φαίης ἂν διακρί-
νας, ἤπερ ἐγὼ ῥημάτων τῶν εἰς ταῦτα φειδόμενος. ἰδοὺ γὰρ καὶ τοῦδε δὴ
τὰ τοῦ κεφαλαίου, δόλῳ μιγνύμενος συσκευάζεται· δηλῶσαι δ' ὅπως καλόν·
οὔ τις τῶν τοῦ πολοστοῦ μέρους ἡμῶν, μήτοιγε τοιούτοις ὑποδείγμασιν ἀνοι-
κείοις οὑμενοῦν χρησάμενος φαίνεται τὸ παράπαν, πρὸς ἅπερ ὁ λόγος
ἡμῖν, ἀλλ' οὐδ' ἐγκύψας ὅλως ἢ ἐνθεωρήσας νοΐ.

ξ'. Πῶς γὰρ ἂν οἷς ἑτέρῳ μηδενὶ τὸ θαρρεῖν ἢ τῷ τοῖς τῶν διδασκάλων κα-
τακράτος ἐρείδεσθαι· μὴ ἃς εἰκόνας οὗτοι καὶ τύπους παραδειγμάτων ἐτράνωσαν,
ἥλιον ἀκτῖνα καὶ φῶς παραδόντες, ὀφθαλμὸν πηγήν τε καὶ ποταμὸν καὶ ὅσα
λοιπὰ τὴν ἐκ τοῦ πρώτου διὰ τοῦ δευτέρου τοῦ τρίτου παριστῶσιν ἔκλαμψιν

ἢ ἀνάβλυσιν, ἢ καταλλήλως τοῖς λεγομένοις τοιανδήτινα πρόοδον εἰς τὸ εἶναι στέργοντες· ἀλλ' ἐῶντες πρὸς ἀνηκούστους οὕτω σφίσιν ὁμοιώσεις ἀπήχθημεν· μενοῦνγε καὶ μᾶλλον τῶν τινες τῆς αὐτοῦ μοίρας πρὸς τὰ τοῦ πατριάρχου κακῶς ἀντερίσαντες· ἐπειδὴ πρὸς περιλήψεις ἐκείνας ἄφηκοντο· αἳ πηγὴν ὕδατος ζῶντος κατὰ τοὺς οὕτω διηυκρινηκότας τῶν πατέρων τὸν υἱὸν καταγγέλλουσι· τοῦ πνεύ- cod. f, 122. a.
ματος δηλαδή· φθάνουσιν ἀντιθεῖναι ὡς καὶ ἡ παρθένος ἄρα καὶ θεοτόκος τοῦ πνεύματος λέγοιτ' ἂν αἰτία, ἐπειδὴ πηγὴ ζωῆς ἀνηγόρευται, πρὸς οὓς ὁ ἱερὸς ἀρχιθύτης τὰς ματαιοπονίας σφῶν ἀπελέγχων ἀπολελογημένος ὁπλάνεται· ὡς οὐ κατὰ τὸν αὐτὸν λόγον πηγὴ ζωῆς ἡ παρθένος ἔστι τε καὶ ὀνομάζεται, καθ' ὃν ἄρα καὶ ὁ υἱός, ἐκείνη μὲν γὰρ τοῦτο· καθότιπερ αὐτὸς ὁ μονογενὴς ἐξ αὐτῆς ἡ αὐτοζωὴ κατὰ τὸ ἀνθρώπινον καθ' ὃ καὶ αὐτοῦ γε αἰτία· οὗτος δὲ πηγὴ ζωῆς κατὰ τοὺς θεηγόρους· καθότιπερ ἐκπορευτὸν δι' αὐτοῦ τὸ πνεῦμα, καὶ τούτου δι' αὐτοῦ αἴτιος ὁ πατήρ. ταῦθ' ὁ βουλόμενος κατὰ τὸ ἀπαράτρωτον εὑρήσει τῆς διανοίας τοῖς ἐπὶ τούτοις ἀντιρρητικοῖς τοῦ ἀληθοῦς ποιμένος ἐγκείμενα· ἐξ ὧν ὁ εὐθύτησι χαίρων, μὴ τῶν ἀπεναντίας αὐτῷ γεγραμμένων, οἷον δή τι βουληθεὶς ὁτεδήποτε κατὰ ῥῆσιν ἀνασκευάσασθαι θέμενον οὕτω πηγὴν ζωῆς τὸν υἱὸν εἰρῆσθαι λέγειν ἡμεῖς καθ' ὃν τρόπον καὶ τὴν τοῦτον κατὰ σάρκα γεννησαμένην τοδὶ λελέχθαι, δολερῶς τεκταίνει καὶ φθέγγεται.

ξα'. Πλὴν ἀλλὰ τούτων ὡς ἔχει διηγγελμένων θεωρηθήσεται τοῦ λοιποῦ καθαρῶς· διαβεβαιούμενος ἅπερ ὁρᾶται περὶ αὐτοῦ τοῦ οὕτως ὀνομάζεσθαι τὸν υἱόν· πηγὴ ζωῆς φησιν ὁ υἱός, ὅτι τοῖς ὑπὸ τῆς ἁμαρτίας νενεκρωμένοις ἡμῖν αἴτιος ὑπῆρξε ζωῆς. καὶ τίς ὁ τοῦτ' ἀπαρνούμενος; εἴ γε τοῖς θεορρήμοσι προσφυῶς καὶ τόδε τοῖς οἰκείοις τόποις ἁρμόττεται, ὁ μὲν τῷ μονογενεῖ προσᾴδων ὁ ἐν νεκροῖς ἐλεύθερος, ὁ πηγάζων ζωήν· ὁ δὲ πηγὴν ζωῆς κέκτημαι σε τοῦ θανάτου τὸν καθαιρέτην· κἂν οἱ τῆς φατρίας τοῦ ψευδήγορον οὕτω καθ' ἡμῶν ἀφιέντος γλῶτταν, καὶ ταῦτα διαβαλεῖν ἐπεχείρησαν· ἡμῶν ὡς αὐτὰ cod. f. 122. b.
προβαλλομένων ἐπὶ τῷ πηγὴν δεικνύναι τοῦ πνεύματος τὸν υἱόν· καὶ μὴ ἐκεῖνα μᾶλλον τούτου διατράνωσιν ἅπερ ἔσχηκεν. ὅμως ἐπεὶ καὶ τὰ πρὸς τοῦθ' ἥκοντα καταδήλως καὶ ἄκοντι τῷ γενναίῳ διωμολόγηται, οἷς καὶ ὅτι τοῖς εἰς αὐτὸν πιστεύουσιν ὡς ἀπὸ πηγῆς αὐτοῦ καὶ δι' αὐτοῦ χορηγεῖται τὸ πνεῦμά φησι, τίς ἐπιστατικοῖς ὄμμασι ἐνταῦθα προσχὼν οὐ τοῦ συνειδότος τόνδε καθαρῶς διαγνοίη καταθρασύνεσθαι, τῷ ταῦτα καθομολογοῦντα προφέρειν ἐπ' ἀθετήσει τῆς τοῦ πνεύματος ὡς βούλεται δι' υἱοῦ εἰς τὸ εἶναι προχύσεως· χορηγεῖσθαι μὲν γὰρ ὡς ἀπὸ πηγῆς τοῦ υἱοῦ καὶ δι' υἱοῦ τὸ πνεῦμα, θεολογίας ὡς οὐ καλῶς ἐχούσης οὐδεὶς φάναι τολμήσειεν, ἀλλ' ὡς δι' αὐτῆς κροκύπτον, καὶ τὴν εἰς τὸ εἶναι πλουτοῦν οὐσιώδη ἀνάβλυσιν. εἰ δ' οὐ τοῦτο, πῶς ἂν ὡς ἀπὸ πηγῆς, καὶ οὐχ ὡς δι' ὀργάνου κηρυττόμενον εἴη τρανότατα.

ξβ'. Κἂν εἰ μυρίας ὁ ταῦτα λέγων καὶ διισχυριζόμενος ἐπιτεχνήσεις εὑρήσειε, συντεθειμένῳ δὲ πηγὴν καὶ τὸν υἱὸν τοῦ παναγίου πνεύματος δογματίζεσθαι,

*

χρήσεις ἐπείπερ αἱ διαγορεύουσαι τηλαυγεῖς. τίς λοιπὸν ὁ περὶ τῶν χαρισμάτων αὐτῷ λόγος; εἰ μὴ καὶ οὕτω πάλιν τὸ ἑκατέρωθεν συγχεῖν καὶ περιτρέπειν τὴν ἀλήθειαν αἱρετὸν· πῇ μὲν ἀπεναντίας ὡς ἐῤῥέθη τῇ τῶν θεολογησάντων ἐκλαμβανομένῳ λήψει τὰ τῆς πηγῆς καὶ τῇ κοινῶς ὑποκειμένῃ δόξῃ περὶ αὐτῆς, ἔνθα μηδὲ δόκησις φαινομένη τὰς ἰδιαζούσας προσηγορίας τοῦ ὑπεραπείρου πνεύματος ἀλλοιοῦν· πῇ δ' αὐτὰς ἔνθα τὰ τῆς δοκήσεως ἔχειν ἡγήσαιτο διαστρέφοντι· καθὼς ἐστιν ἄρα δεικνύων τῷ κράζειν, οὐδὲν καινὸν, οὐδὲ τῆς τῶν γραφῶν συνηθείας ἀλλότριον· ἐὰν ἡ χάρις ἅγιον ὁμωνύμως πνεῦμα καλῆται· πρὸς ὅπερ ὡς καινὸν,
cod. f. 123. a. καὶ ὡς ἀλλότριον μᾶλλον αὐτὸς ὁ χρυσοῤῥήμων ἀφ' οὗ μάτην οἴεται ταῦτα φάσκειν παραχθήσεται παριστῶν, καλεῖσθαι μὲν λέγων καὶ τὸ δωρούμενον πνεῦμα ἅγιον, καλεῖσθαι δὲ καὶ τὸ δῶρον ὁμωνύμως τῷ χαρίζοντι· πλὴν ὅπῃ τὰ τῆς ὁμωνυμίας ἀποκληροῖ καὶ περιγράφει· δι' ὅλου τοῦ περὶ τῶν τοιούτων λόγου διασαφῶν καθαρώτατα· οὐ μόνον οἷς ἀπαριθμῶν τὰ χαρίσματα, καὶ πολλαχῶς ἄνω καὶ κάτω περιστρέφων διευκρινήσεως χάριν, πνεῦμα βουλῆς καὶ ἰσχύος καὶ καθεξῆς τοιουτωδῶς ὀνομάζει· καὶ οὐ μὲν οὖν ἅγιον οὐδαμῶς· ἀλλὰ καὶ οἷς ὁμοῦ περιλαμβάνων κεφαλαιωδῶς παραδίδωσι διαγγέλλων καὶ πάντα τὰ χαρίσματα τοῦ πνεύματος καλεῖται πνεῦμα· πνεῦμα δὲ ἅγιον καὶ πνεῦμα θεοῦ καὶ πνεῦμα χριστοῦ, καὶ ὅσα τοιαῦτα τῆς τοῦ παναγίου πνεύματος κυριότητος κλήσεις ἁρμοζούσας μεγαληγόρως εἶναι μαρτύρεται διδάσκων οὕτω καὶ διαρθρῶν· „ λέγεται τοίνυν πνεῦμα ἅγιον· αὕτη „ γάρ ἐστιν ἡ κυρία καὶ πρώτη προσηγορία, ἡ ἐμφαντικώτερον ἔχουσα τὴν „ διάνοιαν, καὶ περιστῶσα τοῦ ἁγίου πνεύματος τὴν φύσιν. „ καὶ πάλιν· „ ἴσον ἐστὶν εἰπεῖν πνεῦμα θεοῦ καὶ πνεῦμα χριστοῦ· ταῦτα τὰ ὀνόματα „ τῆς ἁγίας καὶ ἀχράντου δυνάμεως τοῦ ἁγίου ἐστὶ καὶ προσκυνητοῦ πνεύ„ ματος· καὶ μετὰ βραχέα ταῦτα τὰ ὀνόματα αὐτῆς τῆς αὐθεντίας, αὐτῆς „ τῆς φύσεως καθὼς ὁ βεβουλημένος ἐκεῖσε προσεσχηκὼς ἐπόψεται πλα„ τυκῶς. „ ἀλλὰ καὶ ἡ τῆς ἐκκλησίας ἀῤῥαγὴς βάσις Βασίλειος ὁ πολὺς ὡς ἐκ πολλῶν δυσὶ τούτοις χρήσομαι μάρτυσι· „ πνεῦμα ἅγιον ἡ κυρία αὐτοῦ „ καὶ ἰδιάζουσα κλῆσις· ὅπερ δὴ παντὸς μάλιστα τοῦ ἀσωμάτου καὶ καθα„ ρῶς ἀΰλου, καὶ ἀμέτρου ὄνομά ἐστιν· „ ἐν ταῖς περὶ τοῦ πνεύματος ἀφοριστικαῖς ἐννοίαις διέξεισι.

cod. f. 123. b. ξγ'. Λοιπὸν ἡμῖν ἀπάρτι τελευταῖον ὃ τῶν καθ' ἡμῶν αὐτοῦ κενοφωνημάτων ὁ ἀκάμας οὕτως συντίθησιν ἀριθμὸν ἀποπληροῦν τὸν ἐνδέκατον „ τοῖς „ αὐτοῖς τὰς τῶν ἁγίων φωνὰς οὐ πρὸς τὸν ὀρθὸν τῆς ἐκκλησίας σκοπὸν „ ἐκλαμβάνουσιν, οὐδὲ θεραπεύουσι τὸ δοκοῦν προσίστασθαι κατὰ τὰς πατρι„ κὰς παραδόσεις, καὶ τὰς κοινὰς περί τε θεοῦ καὶ τῶν θείων ὑπολήψεις· „ ἀλλὰ πρός τινα νοῦν ἀπᾴδοντα τῶν προκειμένων αὐτὰς ἐκβιάζουσιν, ἢ ψι„ λαῖς αὐταῖς προσέχουσι, καὶ πρὸς δόγμα ἐντεῦθεν ἐμφερομένοις ἀλλότριον, „ τὴν προαναγεγραμμένην ψῆφόν τε καὶ καταδίκην ἐπάγομεν· „ ἐφεξῆς ἐπισυνείρων τὰ τῆς αὐτῷ καταλλήλως ἐχούσης ἀποφάσεως ῥήματα. τίς κἂν τῶν

ὧδε λαληθέντων τῳδὶ βραχέως τὴν ἐν ὅλοις κεφαλαίοις γλωσσαλγίαν αὐτοῦ ταχέως; τίς τὴν ἐν πᾶσιν παραπληξίαν μαθεῖν αἱρούμενος οὐ κατίδῃ, καὶ περιπαθῶς ταλανίσειεν; ἀποφαίνεται καθ' ἡμῶν, ὅτι μὴ τὰς τῶν ἁγίων φωνὰς κατὰ τὰς πατρικὰς παραδόσεις ἐκλαμβανόμεθα. διαρθρωσάτω γοῦν τίς τί βουλόμενος ὁ τῇ διανοίᾳ πρὸς ἅπαν ἀντιθετικῶς ἄρα τῇ ἡλικίᾳ δεινὸς καὶ ὑψαύχην, καὶ ὡς πάντες ἴσασι ξένα καὶ ἀλλόκοτα ἐγκαυχώμενος· κυριωτέρως δ' εἰπεῖν, ὅτι μᾶλλον τερατευόμενος, ταῦτα βοᾷ· πότερον ἄλλους εἶναι τοὺς ἁγίους, ἑτέρους δὲ τοὺς πατέρας τοῖς περὶ θεοῦ λόγοις ἡμεῖς παρελάβομεν· ἀλλ' εἰ μὴ τοῦτο ἐρεῖν ἔχων, ὅτι μὴ τοὺς αὐτοὺς, σύνθοιτο ἂν καὶ φαίη πῶς τὰ τῆς προφορᾶς τοῦ λοιποῦ τῶν αὐτοῦ ῥημάτων συμβήσεται· πῶς δ' ἂν εἰ καὶ τοῦτο· φωναὶ μὲν ἐσαῦθις ἄλλαι, παραδόσεις δὲ τῶν ἑτέρων καινοτρόπως διορισθήσονται· φωνὰς ἡμεῖς ἃς οἴδαμεν τῶν ἁγίων, αὐτὰς καὶ παραδόσεις σφῶν ἐγνωρίσαμεν· καὶ ἃς παραδόσεις αὐτῶν ἐγνωρίσαμεν, σφᾶς καὶ φωνὰς αὐτῶν ἐμυήθημεν. καὶ οὐκ ἰδίᾳ μὲν ἐκείνας, ἰδίᾳ δὲ ταύτας cod. f. 124. a. ἀφωρισμένως πρός τινος ἐδιδάχθημεν· ἀλλὰ πάσας ὁμοῦ θεσμούς τε καὶ κανόνας ἔτι τε παραδόσεις καὶ κατὰ τὸ ἐγχωροῦν διασαφανήσεις τῶν περὶ τοῦ θεοῦ καὶ θείων ζητημάτων ἐμάθομεν.

ξδ'. Δοκῶ μοι τὸν μέγαν, εἰ μή γε τοῦτο πατρικὸς ἐνταῦθα βούλεσθαι λέγειν παραδόσεις, ἐπείπερ ἑκατέρων θάτερον ἐξ ἀνάγκης τὰς τοῦ Φουρνῆ καὶ τοῦ Στηθάτου καὶ τῶν ἄλλων οἱ κατὰ Ῥωμαίων ἀντιθέσεις φιλαπεχθείᾳ τῇ μεταξὺ συνεστήσαντο· ἔχρην οὖν ἀμυδρῶς ἄρα τοδὶ παραγυμνῶσαι τὸ διηρθρωμένον ὥσγε καὶ μεμορφωμένον καὶ παρὰ τοῦτο συμβαῖνον ὁ λόγος ηὔχει· ἀλλὰ τῷ συνήθει μὴ βεβουλημένος τρόπῳ λέγειν ὡς ἐντεῦθεν μᾶλλον δόξειε κραταιά, ψιλῇ τῇ οὕτως ἠχοῖ τῶν φωνῶν· πῶς ἂν ὡδί· καὶ πάλιν τὸν ὠφειλημένον ἔλεγχον οὐ κομίσαιτο· ἐπεὶ τίς ποτε νῷ καὶ λόγῳ διοικεῖσθαι θέλων, φωνὰς μὲν ἁπλῶς τὰς περὶ θεοῦ τῶν θεηγόρων ἐκφαντορίας κρινεῖ· πατρικὰς δὲ παραδόσεις τὰς τῶν εἰρημένων ἀντιρρήσεις διισχυρίσαιτο· πῶς δ' ἂν τοῖς τῶν τοιούτων ὁποιά ποτ' ἂν ᾖ τὰ ἐκείνων ὑποβληθῆναι, καὶ κατὰ ταῦτα θεαθέντα θεραπευθῆναι γνώμην δοίη· καὶ οὐ τοὔμπαλιν ἐνσταίη μᾶλλον, ὡς θεσμοῖς καὶ κανόσι τοῖς τῶν θεοσδότων διδασκάλων τὰ τῶνδε δοκιμασθῆναι εἰ συμφωνεῖεν, εἰ ἀπευθύνοιντο ἵν' ὡς τοῖα μὲν ὀφθέντα τὸ στεῤῥὸν καὶ πάγιον ἔχοιεν· εἰδ' οὖν τῆς καιρικῆς ὅπερ ἐστὶν ἐριθείας καὶ διενέξεως κρίνοιντο· ὅταν δὲ καί τινες ἐξ αὐτῶν, ἵν' ὡς ἐν παρόδῳ καὶ ταῦτα δὴ τῷ λόγῳ παραληφθείη καθαρῶς φανεῖεν πνεῦμα λέγοντες τοῦ υἱοῦ οὐχ cod. f. 124. b. ὡς ἐξ αὐτοῦ προϊὸν, τῶν ἁγίων ἐκ πατρὸς καὶ υἱοῦ· καὶ αὖ ἐκ τοῦ υἱοῦ προϊέναι διοριζομένων ἀτεχνῶς ἁπάντων· καὶ πάλιν, εἰ ἐξ υἱοῦ πάντως ἦν τὸ πνεῦμα μείζων ἄν που τοῦ πνεύματος ἐῤῥέθη τοῖς πατράσι καὶ ὁ υἱός· τοῦ μεγάλου πατρὸς Ἀθανασίου τῷ κατὰ Ἀρειανῶν πρώτῳ λόγῳ διαῤῥήδην θεοῤῥημονοῦντος· " τοῖς δὲ μαθηταῖς ὁ κύριος τὴν θεότητα καὶ μεγαλειότητα „ δεικνὺς ἑαυτοῦ οὐκ ἔτι ἐλάττονα ἑαυτὸν τοῦ πνεύματος, ἀλλὰ μείζονα

„ καὶ ἴσον ὄντα σημαίνων· ἐδίδου μὲν τὸ πνεῦμα καὶ ἔλεγεν· ἐγὼ αὐτὸ ἀπο- „ στέλλω· κἀκεῖνος ἐμὲ δοξάσει, καὶ ὅσα ἀκούσει λαλήσει „ τί φήσειεν ὁ φωναῖς ἐπὶ ταῖς τῶν ἁγίων τάσσων, οὕτω καὶ παρακελευόμενος, πάντως ἂν ἕξει κατ' αὐτὸν τὰ σφῶν ἐνταῦθα συσκιάσαι· μὴ πρὸς τὰ τῶν ῥηθέντων κατεξετασθέντα διοβελισθῆναι· δόκησις αὐτοῖς ἐπεὶ τοι γε οὐδαμῶς· ὅτι μὴ πανυδιαυγῶς ἀπηρτισμένης ἀντιφάσεως εἰλικρίνεια· εἰ δὲ καὶ τούτου αὐτοὺς ὁ πολὺς καθ' οὓς διευθετεῖσθαι τὰ τῶν θεοπαρόχων ἐν τοῖς θείοις ὑφηγητῶν ὁρίζει· φαίνοιτο μαχόμενος ἀντιστάδην αὐτοῖς ἐκείνοις σφῶν τὰ τῆς διευθετήσεως οἷς ἐντέλλεται· καὶ ὡς ἑνὸς μόνου μνησθῶ τἆλλα παρεὶς λόγοις δῆτα τῆς ἐκπορεύσεως τῶν μὲν μηδὲν ὧν αὐτὸς ὁρῷτο πρὸς ἐξήγησιν, τῆς δὲ παραδιδοὺς φθεγγομένων, τῶν δὲ καὶ διατόρως αὐτοῖς τρανούντων τὸ μονολόγιστον.

ξε΄. Ἐῶ γὰρ φᾶναι ὡς καί τισιν ἐξ αὐτῶν εὐγνωμοσύνης ἔμφασις οὐκ ὀλίγη, ῥήμασίν ἐστιν ὅπου· ποῖον εἶδος ἀτοπίας τοῦδε τῇ κακίᾳ παρισωθῇ; μᾶλλον δὲ ποῖον αὕτη καθ' ὑπερβολὴν οὐχ ὑπερελάσειε; τίνες δὲ καὶ αἱ κοιναὶ περὶ θεοῦ καὶ τῶν θείων ὑπολήψεις, καθ' ἃς αὖθις τῷ ματαίῳ θεραπείας ἀξιοῦσθαι τὰ τῶν θεοφόρων προσεπιτάσσεται· καὶ οὐ κοινὴ πᾶσα μᾶλλον ἂν εἴη ὑπόληψις ἐκ τῶν περὶ θεοῦ σφίσιν ἀξιωμάτων συνισταμένη καὶ παραδόσεων· καὶ πρὸς αὐτὰς ἀποτεινομένη· κἀκεῖθεν τὸ ἑδραῖον ἐπιφερομένη καὶ ἀναμφήριστον; ποῖα δὲ καὶ ἐκκλησία πρὸς ἣν τὰ σφῶν ἐκληφθῆναι δέον, καὶ οὐ τὰ τῆσδε πρὸς τὰ ἐκείνων μᾶλλον· καὶ οὕτως ἂν ἐκκλησία καὶ εἴη καὶ ὀνομάζοιτο· εἰ μή που ταύτην καὶ πάλιν εἰς ἑαυτὸν ὡς φιλεῖ περιίστησι· τῇδε γὰρ καθάπαξ ἄδεια πᾶσα καὶ ὁλοσχερὴς αὐτονομία καὶ βούλησις· ἐναργῶς δ' ὁ βλέπων ὅπως αὐτῷ κρίνοιτο καὶ καταδικάζοιτο, ψιλαῖς αὐταῖς ὁ προσέχων ταῖς τῶν θεηγόρων φωναῖς, εἰς μνήμην ἔλθῃ τῆς προσεχῶς διηγγελμένης ῥήσεως γραφικῆς, καὶ ἰδίως ἀπονενεμημένης τῷ πνεύματι, καὶ τήνδ' εἰς νοῦν λάβῃ κατὰ ψιλὴν αὐτῆς προφορὰν, προσθείην δ' ἐγὼ καὶ ἀνάπτυξιν· ἀλλὰ καὶ τῶν ἄνω λοιπῶν ὡσαύτως. ποῦ μοίρας θήσει τὸν Γεννάδαν, καὶ εἰς οἷον ἐγκαταλέξει χορὸν τῶν πώποτε κατὰ τῶν θεοβραβεύτων ὑποφητῶν τοῦ πνεύματος μανέντων, καὶ ἀδικίαν εἰς τὸ ὕψος λαλησάντων· οὗπερ αἱ σφῶν ὑψηγορίαι καὶ θεοπρεπεῖς διατρανώσεις ἀνάγονται· οὕτως οὐ ψόφοις λόγων, ἀλλ' ἀληθείας τοὺς ἐκφάντορας τῶν θείων ὁ τοσοῦτος οἶδεν· ὡς τὰ τοῦ πνεύματος οὐκ ἄλλως ἐλάλουν ἢ πλήρεις γεγονότες τοῦ πνεύματος.

cod. f. 125 a.

ξς΄. Σφαδάζων μέντοι κατὰ τῶν τοιούτων οὕτως βλασφημίας αὖθις καὶ κακίας δόγματα τὰ σφῶν ὀνομάζει· καὶ πολλῶν ἐπὶ ἐξαπάτῃ ταυθ' ἡμέτερα κράζων, πλεῖστα τε γλωσσαλγῶν ἐπὶ τούτῳ καὶ τὸν λόγον οὕτω διασκευάζων διερωτᾷ· "ποῦ γὰρ οἱ θεοφόροι τὸν θεὸν καὶ πατέρα διὰ τοῦ υἱοῦ „ αἴτιον τοῦ πνεύματος ἔφησαν; „ ἀκούει μὲν οὖν ὅπουπερ αὐτὸν προβολέα διὰ λόγου τοῦ ἐκφαντορικοῦ πνεύματος ἐδογμάτισαν· ὅπουπερ ἐξ αἰτίας

cod. f. 125. b.

αὐτοῦ καὶ πρώτου διὰ τοῦ υἱοῦ πνεῦμα τὸ παναλκὲς διεσάφησαν· ὅπουπερ αὖθις αἰτιατὸν ἐξ αὐτοῦ διὰ τοῦ υἱοῦ ἐτράνωσαν. ποῦ τὸν παράκλητον εἶπον ἐκ τοῦ υἱοῦ καὶ διὰ τοῦ υἱοῦ ἔχειν τὴν ὕπαρξιν; ὅπουπερ ἐκ τοῦ υἱοῦ καὶ διὰ τοῦ υἱοῦ φυσικῶς καὶ οὐσιωδῶς ὑπάρχειν εἰρήκεισαν, τῆς ΕΚ ἐπὶ τοῦ υἱοῦ τῇ ΔΙΑ πανταχοῦ συντρεχούσης, ὡς διευκρίνηται· μόνῳπερ ὅσα τῷ πατρὶ κυρίως ἁρμοττομένης τῆς ἀρχικῆς αἰτίας εἰς ἔκφανσιν· ὅπουπερ ἐκπορεύεσθαι δι' υἱοῦ διατόρως ἐθέσπισαν, τὴν δι' υἱοῦ φυσικὴν αὐτοῦ διηρθρηκότες καὶ ἀΐδιον ὕπαρξιν" ὅπου πνεῦμα δὲ προσερεῖς ἅγιον διηγόρευσαν τὸ ἐκ θεοῦ πατρὸς δι' υἱοῦ προχεόμενον φυσικῶς καὶ καθάπερ ἐν τύπῳ τῆς ἐκ τῶν στομάτων διαπνοῆς τὴν ἰδίαν ἡμῖν κατασημαῖνον ὕπαρξιν. εἶτα πυνθάνεται καὶ οὕτω "ποῦ δὲ πάλιν αὐτὸν τὸν παράκλητον ἐκ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ „ ἔχειν ὕπαρξιν.„ ὡς εἰ τοῦ ζητουμένου περὶ τοῦ ἐξ υἱοῦ ὄντος· τοῦτ' αὐτὸ μὴ διηρωθήτη, ἢ τοῦδε προβάντος ἀμφίβολον ἔτι τὸ ἐκ τοῦ πατρὸς ὑπελείπετο· ἐφεξῆς "ποῦ τὴν μίαν οὐσίαν καὶ θεότητα πατρὸς καὶ υἱοῦ αἰτίαν „ τῆς ὑπάρξεως τοῦ ἁγίου πνεύματος ἐδογμάτισαν;„ ὅπουπερ ἐκ τῆς τοῦ πατρὸς οὐσίας καὶ τοῦ υἱοῦ· ὅπουπερ ἐκ πηγῆς τοῦ πατρὸς καὶ αὖ ἐκ πηγῆς τοῦ υἱοῦ· ὅπουπερ ἐξ αἰτίας τοῦ πατρὸς διὰ τοῦ υἱοῦ τὸ ὑπερτελὲς πνεῦμα θεολογικῶς ἀνεκήρυξαν.„ τὴν δὲ πατρικὴν ὑπόστασιν τίς ποτε καὶ ἐν ποίοις αὐ- „ τοῦ συντάγμασι τοῦ μὴ μόνην αἰτίαν εἶναι υἱοῦ καὶ πνεύματος ἀπηγό- „ ρευσεν;„ οὐδείς. διὰ τοῦτου δὴ οὐδ' ἡμεῖς, ἀλλ' αἰτίαν καὶ μόνην αἰτίαν τρανῶς ἐδίδαξαν οἱ θεόφρονες πλὴν ἐνσούσιον· οὐκ οὐσίας χωρὶς ὡς αὐτὸς ἐν- cod. f. 126 a. ταῦθοι παρυποκρύπτων, ἀμυδρῶς δ' ἐμφαίνων, ἀλλαχοῦ προτίθησιν ἐναργέστατα· τοῦ μόνην κατὰ τὸ πρῶτον αἴτιον ἐκλαμβανομένου ὡς ἐλέχθη καὶ ἀπεφάνθη.

ξζ'. Οὐ μὲν οὖν ἐπ' ἀναιρέσει τοῦ ἐκ πατρὸς δι' υἱοῦ εἶναι τὸ πνεῦμα ἐκπορευτὸν, ἤγε αἰτιατὸν· τοῦτο γὰρ καὶ παρεδόθη καὶ ἀνηγορεύθη τρανότατα· " τίς καὶ τὸν πατέρα αἴτιον φρονεῖν τοῦ πνεύματος οὐ τῷ λόγῳ τῆς „ ὑποστάσεως, ἀλλὰ τῷ λόγῳ τῆς φύσεως ἐδογμάτισε· καὶ τοῦτ' αὐτὸ οὐκ „ ἀπένειμεν ὡς ἰδίωμα τῶν ἄλλων δύο χορίζον ὑποστάσεων;„ συκοφαντιῶν τῶν καθ' ἡμῶν αὐτῷ πεπλασμένων κἀνταῦθα πάλιν ὁ κολοφών· ἡμεῖς γὰρ ὡς εἰρηκότες ἐσμὲν κατ' ἀμφότερα τοῦ πνεύματος αἴτιον φρονεῖν ἐμάθομεν τὸν πατέρα καὶ νοῒ καὶ στόματι καταγγέλλομεν κατά τε λόγον τῆς οὐσίας, κατὰ λόγον δηλαδὴ τὸν τῆς ὑποστάσεως· ἐπεὶ μήτ' οὐσίαν οἴδαμεν ἀνυπόστατον, μήτ' ὑπόστασιν ἀνούσιον ἐδιδάχθημεν· ἅπερ ὁ ἐμβρόντητος οὗτος ὑπὸ κακίας καὶ φρονήσας ὤφθη καὶ διαγγείλας μανιωδῶς.

ξη'. Νῦν δὲ πῶς ἐμφαίνων οὐ παρρησίᾳ δολίως μέντοι καὶ σκολιῶς· ὅτι δὲ καὶ ὡς ὑποστατικὸν ἰδίωμα τῷ πατρὶ τῷ τοῦ πνεύματος αἴτιον εἶναι τοὺς τῆς εὐσεβείας ἀπονεῖμαι διδασκάλους φάσκει διατεινόμενος, ὃ τὸ προβλητικὸν· κατὰ τοῦτο γὰρ τοῦ πνεύματος αἴτιος καὶ οὐκ ἄλλως, περιφανῶς εὑρίσκεται κἂν τούτῳ τῶν τῆς ἀληθείας προηγόρων καταψευδόμενος· οὐδεὶς

γὰρ τούτων οὐκ ἔστιν ὅπου τῶν συνταγμάτων αὐτῶν ἰδίωμα τοῦτ᾽ ἀποκληρώσας φαίνεται τῷ πατρί. τὸ γεννᾶν μὲν οὖν, τὸ πατὴρ, καὶ ὅσα τοῦτ᾽ αὐτὸ παριστάνει τηλαυγῶς οἱ θεόσοφοι, μόνον ἰδίωμα τοῦ πατρὸς ὁρῶνται μαρτυροῦντες, καὶ διαπρυσίως ἀποφαινόμενοι· φασὶ καὶ γάρ· " συναΐδιον πιστεύο-
,, μεν τὸν υἱὸν τῷ πατρὶ· καὶ πᾶν ὁτιοῦν ἰσόμετρον ἔχοντα, δίχα μόνου τοῦ
cod. f. 126. b. ,, τεκεῖν· πρόσηκοι γὰρ ἂν τούτῳ μόνῳ τῷ θεῷ καὶ πατρὶ, καὶ αὖθις ἐν
,, ἑτέροις ἐν υἱῷ μονογενεῖ κατὰ πάντα ὁμοίῳ καὶ ἴσῳ τῷ πατρὶ χωρὶς
,, τῆς πατρότητος.,, καὶ πάλιν " πάντων τῶν φυσικῶν ἀγαθῶν τοῦ πατρὸς
,, κοινωνός ἐστιν ὁ υἱὸς ἄνευ τοῦ πατὴρ εἶναι.,, καὶ αὖ ἐν ἄλλοις· " μέ-
,, νει δὲ ὁ υἱὸς μηδενὸς ἀποστερούμενος τῶν ἐνόντων τῷ πατρὶ· κἂν μὴ
,, νοεῖται πατήρ·,, καὶ παλιν ἐν ἑτέροις· " θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ
,, οὐκ εἰς ὀθνείαν τινὰ καὶ ἔκφυλον ἐκπεφυκότα φύσιν· ἀλλ᾽ ὄντα τοῦτο
,, οὐσιωδῶς· ὅπερ ἂν εἶναι νοοῖτο καὶ ὁ πατὴρ, δίχα μόνου τοῦ εἶναι πατήρ·,,

ξζ´. Οὕτω καὶ διὰ βραχέων τὰς ἀποκρίσεις ἡμεῖς διδόαμεν ἐρωτώμενοι· καὶ σκεπτέον, εἴγε καὶ λέξεως ἄχρις αὐτῆς ἐν τούτοις ἡμετέρα φωνὴ καὶ μὴ τῶν ἁγίων· ὅτι μὴ τοῦ λόγου μόνου ἡ σύνθεσις. εἰπάτω γοῦν καὶ ὁ τὴν ἰθυγνωμοσύνην περικλεὴς, ποῦποτε οἱ πατέρες μὴ εἰς αἰτίας λόγον διηρμηνευκότες, ἢ παρειλημμένοι τὸν προβολέα εἶεν, μὴ τοῦ διαφόρου πρὸς τὸν υἱὸν αἰτίου τοῦ πνεύματος εἰς παράστασιν; ποῦποτε ὁ θεοειδεῖς εἰς ἀνυπαρξίας σημασίας ἐπὶ τοῦ πνεύματος παραδεδωκότες εἶεν τὸ ἐκπορεύεσθαι; ποῦποτε οἱ σωτῆρες οὗτοι οὐ τῷ λόγῳ τῆς οὐσίας, τῷ δὲ λόγῳ τῆς ὑποστάσεως αἴτιον τοῦ πνεύματος ὑπάρχοιεν τεθεολογηκότες τὸν πατέρα; ποῦποτε τὸ ἐκ τῆς οὐσίας μὴ καὶ ἐκ τῆς ὑποστάσεως εἶναι· καὶ αὖ τὸ ἐκ τῆς ὑποστάσεως μὴ καὶ ἐκ τῆς οὐσίας εἶναι ἐνσημηνάμενοι; δειξάτω ποῦ τις αὐτῶν τὸ προβλητικὸν ἰδίωμα πατρικὸν δογματίσας ὦπται; ποῦ τὸ διὰ τοῦ προσεχῶς ταὐτὸν εἶναι τῷ προσεχῶς· τοῦ διηκρινηκότος μεγαληγόρως καὶ ταῦτα διάφορον εἰρηκότος· ὃ κἂν ἐνταῦθα φάμενος ὁ ἀήττητος μὴ τυγχάνῃ· ἀλλ᾽ οὖν ἐν μέσοις εἴη δικαστηρίοις φθεγξάμενος ἐκδηλότατα· ποῦ τ᾽ ἄλλα νομοθετῶν ἅπερ ἐπὶ τοῖς ῥητοῖς τῶν ἁγίων ἐπαυθα-
cod. f. 127. a. δίζεται· δειξάτω τῶν ἀπηριθμημένων. εἰ ἔχει τὶ τὸ παράπαν ἄλλοθέν ποθεν παραστῆσαι· ὅτι μὴ ἀπὸ τῆς αὐτοῦ κοιλίας καὶ διανοίας, ἣν ὑπὸ δυστροπίας ὠδινήσας κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἀπεκύησεν· ἀλλὰ ταῦτα μὲν δυναστείᾳ καὶ τῇ ἐνσκεδασθείσῃ σκοτομήνῃ νενευρωμένος την αὐτοῦ καθ᾽ ἡμῶν ὡς ἐκπλήσῃ κακίαν· οὓς ἀφανείᾳ παραδούς ἐστιν ὅλως ἰταμωτάτη· γνήσια καὶ οἰκεῖα τῇ ἐκκλησίᾳ τῆς τόλμης ὅση καλεῖ· καὶ τὸ δὴ χαλεπώτατον κομιδῆ πρὸς τὸ τῶνδε βάραθρον κατασπᾶσαι πάντας φιλονεικεῖ τοὺς μὲν ἀπατῶν τοὺς δὲ καὶ βιάζων καὶ τυραννούμενος. τὰ δὲ τῶν θεοπνεύστων διδασκάλων, καθ᾽ ὧν ἀντιπνεύσας ὁ μάταιος εἴη, δυσφημῶν ὡς ἡμέτερα καὶ κλευάζων ἀκάνθας καὶ τριβόλους ἀνακηρύττει, ἐχιδνῶν τε θανατηφόρων γεννήματα· καὶ ἀλλ᾽ ὁπόσα τῇ φιλολοιδόρῳ τοῦδε καὶ βλασφήμῳ γλωσσαλγίᾳ καθήκοντα, πυρί τε καὶ σιδήρῳ κατεργασθῆναι βαττολογῶν ἐπιτάσσει τῆς θείας ἀνοχῆς ὅση δύναμις κατα-

φρυαττόμενος· ἐκεῖνο γε σπεύδων ὡς μήποτε τῆς ἀληθείας ἀπροόπτως ἀναφανείσης τὰ τῆς κακουργίας αὐτοῦ πάμπαν ἐκκαλυφθείη, καὶ ἡ καθ' ὧν μέμηνε πᾶσιν ἐκπορευθείη παράνοια.

ξθ'. Ἐπεὶ δὲ τὰς τῶν πολλῶν δελεάζειν ἀκοὰς μεμηχανημένος ματαιολογῆσαι πρὸς τοῖς ἄλλοις καὶ τοῦτο δὴ ἀπερυθριᾷ, ὡς οὐ τῶν πατέρων ἃ τῶν πατέρων ὁ τοῦ θεοῦ ἀληθὴς ἱεράρχης τῶν οἰκείων λόγων εἰς πίστωσιν ἐπιφέρει, ῥημάτων δ' ἔστιν ὅπου τῶν σφετέρων παρ' αὐτοῦ ῥᾳδιουργηθεῖσαι παραφθοραί· ἐατέον γὰρ ὁ τῶν ἐγκλημάτων δεύτερον τούτοις συνάπτει, εἴπερ αὐτοῦγε δι' ὅλου τοῦ λόγου ἔλεγχος ἵνα τὶ μὴ κατὰ λέξιν ἐγκαταστρώσας ὡς ἡμεῖς ἐπὶ τοῖς αὐτοῦ δρᾷν, ὥς τι τῶν εἰς ὀφειλὴν ἀναγκαίων ἡγούμεθα. ὧν σύνοιδε γενέσθαι τὰ τῆς παραφθορᾶς, ἢ πανθ' ἁπλῶς, ἤ τινα ἐκ πολλῶν, ἢ καὶ ἐξ ὅλων ἕν τι παραστήσας ὡς θέμις τὰ τῆς ῥᾳδιουργίας ὀπτάνεται· οὐ γὰρ ἐντεῦθεν ὑπῆρξεν ἂν αὐτῷ μικρὰ τοῦ σπουδάσματος ἡ συγκρότησις· ὡς μεγίστη δὲ καὶ περιφανής· καὶ ἣν ἂν τὸν ὅμοιον τρόπον τῶν πρωτίστων δὴ καὶ κυριωτάτων ἐπὶ παντὸς ἀπεφηνάμην ἔγωγε πράγματος· ἀλλ' εἴπου καὶ πάλιν ἔχει τι τοιοῦτον φανερωσάτω γραφῶν οἰκείων συντάγμασι, λόγῳ δὴ τῷ ῥηθέντι δείξας ἢ δικαστικοῖς ἐνθέσμοις διαλόγοις, ὡς φανείη τι καὶ τῶν ὧν ἡμεῖς ἐσμὲν ἐκκαλούμενοι πράξας· καὶ μὴ τὰ πάντα ψεύσμασιν καὶ ἀπάταις ἑαυτὸν ἐρειδέτω· καὶ τούτων αὖ ἐπὶ συναρήξει καθ' ἡμῶν ἀπηνεστέροις ἀλλοδιαδόχως φρουροῖς· ἐφεξῆς δ' οὖν ὡς τὰ διὰ μέσου παραδράμοιμι τῆς αὐτοῦ ματαιοφωνίας τοῦτ' αὐτὸ παράγε ἀληθείᾳ τοῖς διαληφθεῖσι συναποδεδειγμένα πρὸς τῷ τέλει τῆς αὐτοῦ ἀνομογραφίας, σχῆμα συστολῆς ἑαυτῷ καὶ εὐλαβείας θέλων προσάψαι, οἷς ἡμῖν εἴργασται ὡς παθαινομένῳ· εἰρηκώς τε· εἰ γὰρ τὰ καὶ τά, ποιοῦμεν τὰ τῆς αὐτοῦ καθ' ἡμῶν λοιδωρίας ἐπάγει κατὰ λέξιν· οὐχ ὡς ἐφηδόμενοι τοῖς αὐτῶν παθήμασι τοῦτο δρῶμεν, οὐδ' ὡς τῇ ἀποβολῇ τῶν ἀνδρῶν ἐπιχαίροντες· τοὐναντίον μὲν οὖν καὶ ἀλγοῦμεν καὶ οὐκ ἀηδῶς τὴν διάζευξιν φέρομεν.

ο'. Οὐκοῦν αἱ πίστεις τοῦ οὕτως αὐτὸν διακεῖσθαι καὶ τοιαύτῃ ψυχῆς εἰλικρινείᾳ πᾶν αὐτῷ πραχθῆναι πεπραγμένον· καὶ τὰ καθ' ἡμῶν οὕτω τελεσθῆναι, ἀφ' ἑστίας ὅ φασι οὐ μακράν. τίς γὰρ ἂν ἐκ τῶν καθεκάστην αὐτῷ δρωμένων οὐ τῷ νοΐ ταῦτα συμβαλεῖται καὶ διαγνοίη· ὧν πάντες αὐτόχρημα θεαταί· καὶ ὄψις ἐπιστήμων οὐκ ἀκοὴ καὶ ὡς συλλήβδην ταυτὶ παρήσω; τίς οὐ τοιασδὶ διαθέσεως τόνδε κρινεῖ· μόναπερ εἰς τὰ ἐν Βλαχέρναις δραματουργηθέντα τοὺς διανοητικοὺς ὀφθαλμοὺς ἐρείσας· οἷς τοσοῦτος ὅμιλος ἀρχιερέων μὴ δόγμασιν ἀντικαταστάντες, μὴ τυχοῦσι λόγοις, μὴ ῥήμασι· μᾶλλον μὲν οὖν καὶ συχνὴν ἐλέους εἰσβουλὴν εἰσενέγκοντες, βλέμμασιν οἰκτροτάτοις καὶ φθέγμασιν, ὡς ὑπερβαλλόντως τὰ τῆς λῃστρικῆς ἐκείνης συνδρομῆς ὑποτρέσαντες, τῶν πώποτε ξενακούστοις καὶ ἀνυποίστοις δεινοῖς ὑπεβλήθησαν συρόμενοι, τυπτόμενοι, σπαραττόμενοι, σύρφακι λαῷ ἀναφθέντι, βαλλόμενοι κατὰ κόρρης κατὰ μεταφρένων· διαρρηγνυμένων ἀμφίων, ποσὶ

cod f. 127. b.

cod. f. 128. a.

συμπατουμένων ἐνστερνίων σφίσι προβλημάτων, εἰκόσι σεπταῖς ἐντετυπωμένων τῶν ἐπὶ κεφαλῆς καλυπτρῶν σταυρίοις κεκασμένων, ὧν ἐπωδὸς οἷον ἐσχάτη τὸ σφᾶς οὕτω καθυπαγωμένους ἀναθέμασι καὶ μυρίαις ὕβρεσι πλύνεσθαι· αὐτοῦ τελεταρχοῦντος σὺν τῇ ἀπὸ τῶν ἀρχείων ἑταιρείᾳ. τούτοις ἡμῖν οὕτω παρ' αὐτοῦ ψηφισθεῖσιν ὀδυνωμένου, καὶ τῆς πανηγύρεως προεξάρχοντος, ἅτε καὶ ἐπὶ θρόνου καθημένου· παρ' ὃν ὑφάνας ἔχει πᾶν οὕτω προαχθὲν καὶ δρᾶμα καὶ διανόημα κάκιστον· τοῖαι πίστεις αὐτοῦ τῶν λόγων, ἀλγεῖν οἷς καθ' ἡμῶν ἐπὶ ἐξαπάτῃ πολλῶν ἐτεχνάσατο· παρὸ καὶ τῆς δίκης συνελαυνούσης φθάνει τὰ τῆς ἀληθείας ἄκων ἐκφῆναι. τούτοις αὐτοῖς οἷς ἠβουλήθη τὰ τῆς ὑποκρίσεως σχηματίσασθαι τὸ μὴ ὄν τε προτεθυμημένος
cod. f. 128. b. ἐρεῖν, ἀπερικαλύπτως ἀνακηρύττει τὸ ὂν· ἀνθ' ὧν ἀηδῶς φᾶναι θέλων οὐκ ἀηδῶς διετράνωσε. τὸ γὰρ οὐκ ἀηδῶς τί ἄλλο, ἢ τὸ μεθ' ἡδονῆς, εἰ μὴ τῷ διττῷ τῆς ἀποφάσεως, ὃ δεδόμενον ἐστὶν, αὐτὴν τὴν μετ' ἀποφάσεως στέρησιν δοίη, γνωσιμαχῆσαι κἂν τούτοις ἠρημένος, ἃ παρὰ φαῦλον ἡμῖν.

οα'. Ὡς μὲν οὖν ὁ ἀνὴρ οὗτος ἀθεμιτουργίαις ἐσχάταις ἔκδοτον ἑαυτὸν ποιήσας, δῆλος ἐγεγόνει γνώμῃ τε καὶ τρόπῳ καὶ διανοίᾳ τοὺς εἰδότας εἰς τὸ πρὶν ἐλάνθανε σοφιζόμενος, καὶ παρὰ τοῦτ' ἀποτρόπαιος τῶν ἁπάντων ἀμφίρροπον οὐδενὶ, φαίην ἂν καὶ αὐτῶν ἐκείνων, οἷς τὸ προσκεῖσθαι τούτῳ κυριαρχοῦντι συμβέβηκεν· ὡς δὲ καὶ τῷ πάντων ἔνθεν ὑπηγμένος ἀκροτάτῳ τῶν κακῶν ἑαυτὸν ἐμπεδώσας εἴη, τῇ κατὰ δογμάτων τῶν πατρικῶν ἀκρατεῖ δηλαδὴ μανίᾳ· οὐδὲν ἧττον πάρεστιν ἐναργὲς, καὶ ἡ ἀλήθεια κήρυξ ἐνθαδὶ διαπρύσιος· εἰ δ' ὅτι ῥοπὴ πέφυκε πλήθους καθ' ἧς ποικιλοτρόπως μετέλθοι δὴ πραγματείας πρὸς τῇ χρονίῳ τῇσδε συγχύσει· καὶ ἅπερ ἕτερος οὐδαμῶς, ἢ νέον οὗτος ἐπ' αὐτῇ καινοτομήσας ἐφάνη τῶν περὶ θεοῦ παραδεδομένων ἔκπτωτα καὶ ἀλλότρια οἴεται καὶ μεγαλαυχεῖ συσκιάζειν τεθαρρημένος τὰ δοκοῦντα καὶ μᾶλλον λέγειν, οἷς ὅλως εὕρηται ταύτης κατὰ φωνῶν· τί πρὸς τὴν ἀλήθειαν καὶ ἡμᾶς, εἰ ἐπ' αὐτῶν τῶν κοινῇ πᾶσι κατεγνωσμένων, ἀνοσιουργημάτων δή φημι τῶν ἐνσημανθέντων· οὐχ ὅτιπερ ἐνισχύοιτο κατ' αὐτὴν, τῶν ἐπ' αὐτοῖς ἀπῃωρημένων αὐτῷ δικῶν ἔχει τὸ περιγίνεσθαι, ἀλλ' ὅτι βίᾳ καὶ τυραννίδι νέμων ὑπάρχει τὰ κατ' αὐτὸν, τὸ δυναμοῦσθαι πλουτεῖ καὶ κρατύνεσθαι· τί καινὸν εἰ κἀνταῦθα πατράσι κοινοῖς ἀντιβαίνων λόγοις εἰς κακίαν νεοφανέσι, πρὸς τῇ δυναστείᾳ καὶ τὰ τῆς ῥηθείσης ῥοπῆς ἐσχηκὼς καὶ συγχύσεως ὑπ' αὐτῶν οὐ τῇ ἀληθείᾳ φέροιτο κραταιούμενος.

cod. f. 129. a. οβ'. Ἡμεῖς ὃ σύνοιδε πᾶς, μέσοις ἐν ἀνακτόροις κατέναντι τοσούτου συνεδρίου παρρησιασάμενοι, τὰ τῶν βλασφημιῶν αὐτοῦ παραστῆσαι μεγαληγόρως προήχθημεν· ἀλλ' ἐκεῖθεν ἡμῖν ὁροθετεῖται καὶ μετὰ χόλου προστάσσεται, μὴ τὸ παράπαν οἵους δή τινας κατ' αὐτοῦ λόγους προενεγκεῖν, ἢ μόνον ἐπ' ἀδείας ἔχειν τὸ ὑπὲρ ἑαυτῶν ὅσον ἐρωτώμενον ἀποκρίνεσθαι. ταῦτα γοῦν ὁποῖα πρὸς τὴν τοῦ ἀληθοῦς κατανόησιν· γίνεται πλὴν ἀναγκαίως τρόπῳ τοιῷδε κελευσθέν· ἀλλ' οὕτως ἀρέσκεια σφίσιν· οὐ πρὸς τὸ κατὰ σκοπὸν

ἀνυομένη προχώρησις· ἀθετεῖται τοιγαροῦν δικαστήρια, μηδὲ πρὸς βραχὺ διαρκέσαντα· καὶ ταῦτα μηνῶν ἄχρις ἕξ· ἢ καὶ χρονικοῦ διαστήματος ὅλου προβάσης εἰς τὸ συγκροτεῖσθαι τῆς ὑποσχέσεως. καὶ πάλιν ἐπίνοιαι, πλήθη καὶ λαοὺς ἡμῖν ἐπισυνταράξαι, κραυγαῖς εἰωθυίαις, καὶ τὴν ἀναφανεῖσαν ὅλως ἐν δικαστηρίοις αἰσχύνην αὐτοῖς περιτρέψασθαι· καὶ ἡμῖν μὲν ἀπονενεμημένος παραχρῆμα χῶρος αἱ φυλακαὶ πάνυπερ ἀσφαλῶς, δήμοις δὲ καὶ συστήμασιν ὄχλων αἱ τομογραφίαι πολλῷ τῷ βόμβῳ περιηχούμεναι, καὶ τὰ τῶν ἀλλοτρόων ῥημάτων ἐντεῦθεν μᾶλλον αὐταῖς ἐκδηλότερα, καὶ θεοῦ νεύσει. ποῦ γὰρ ἄλλοθεν ὁπωσοῦν; εἰς χεῖρας αἵδε τοῦ πατριάρχου, καὶ ἀντιρρήσεις τῶνδε, καὶ οἱ ἔλεγχοι παραυτὰ· καί τινων ἡμῖν ἐνδεδημηκότων ἐκ βασιλείων κατεσπουδασμένης διερευνήσεως ἕνεκα, τῶν ἔξωθεν εἴ που γραφαὶ πρὸς ἡμᾶς εἰ καὶ λόγων ἁπλῶς ἐλεύσεις τοῖς προβάσιν ἀντισταμένων· αἱ τῶν ἀντιρρήσεων παρ᾽ ἡμῶν αὐτῶν παῤῥησίαι καὶ ἐγχειρίσεις, καὶ κλήσεις ἐνθεσμῶν δικαστηρίων μεθ᾽ ἱκετηρίας ὅσης ἐνησχολημένην γενέσθαι τῶνδε καὶ σαφῆ τὴν συζήτησιν· καὶ τὰ ἐπὶ τούτοις, ἀντ᾽ ἐπωφειλημένης οἱασοῦν ὑπερηγορίας, ἀντὶ βασάνου λόγων, ἀντ᾽ ἐξετάσεως κακώσεις αὖθις καὶ φρουραὶ, καὶ καθείρξεις δεινότεραι, καὶ ὅσα λοιπά μοι λόγων ὁ προγραφεὺς παρατίθησι ἐντελέστερον· cod. f. 129. b.

ογ´. Ἀλλὰ τούτοις τί κοινὸν ἀμωσγέπως καὶ τῇ ἀληθείᾳ; ὅμως τὸ εἶναι τε καὶ τελεῖσθαι οὕτως οὐδὲ ῥοπῇ καὶ συγχύσει πρὸς τὴν αὐτῆς εἰλικρινείαν, εἴγε τῆσδε καὶ ταῦτα πρὸς ἐπίκρυψιν οὐ φανέρωσιν· καὶ ἡμῖν εἴ γε μηδὲν ἄλλο διὰ σπουδῆς· ὅτι μὴ ταύτης ἡ κατεξηντασμένη διαύγεια, ζήλῳ τῷ ὑπὲρ ὁμοφύλων τῆς ἀρτιφανοῦς κακίας· ὅτι μᾶλλον ἡ ἀποσόβησις· ἀλλά γε δὴ καὶ τοσούτοις προσπαλαίοντες καθ᾽ ἡμέραν ὡς δεδυνημένον ἡμῖν ἐγεγόνει· σὺ μὲν οὖν ἐφ᾽ ὅσον εἰκὸς πρὸς τὸν διὰ χάρτου καὶ μέλανος ἄλλως ἄεθλον τοῦτον ἀπεδυσάμεθα· καὶ τὰ ἐντεῦθεν δῆλα πᾶσι καὶ ἐναργῆ· οἷς τε πρὸς τὴν διαλογικὴν εὐθύτητα τῶν λόγων ἐρηρεισμένος ὁ ἀντίδικος καθορᾶται· πρὸς τ᾽ αὐτὸ τὸ τοῦ ἀγῶνος σκοπιμώτατον ὡς ἐπίπαν, καὶ οἷς ἡμεῖς ἐπ᾽ ἀμφοτέροις ἐνασμενίζομεν ἑδραιούμενοι. εἰ μὲν οὖν ὁ ἐπακούσων ἔσται καὶ κατοψόμενος, οὐκ εἰς μακρὰν ἂν αὐτοῖς τὴν ἐκ τοῦ συνειδότος σχοίη διάγνωσιν· εἰ τῳδὶ προτεθειμένος ἐναπευθύνοιτο· εἰ δ᾽ οὖν καὶ πάλιν ἡμῖν τὸ οὐ πρὸς ἡμᾶς οἰκεῖον, ἐπείτοιγε τὸ ἡμέτερον, τοῦτο δινικῶς ὡς οἷόν τε, τὸν ἑαυτοῦ προκείμενον δρόμον ἔχει· οὗ καὶ ἐξηρτημένον ὁσημέραι μᾶλλον ἀνθέξεται πρὸς μόνην ἅτε βάσανον ἐκείνην τὴν ὅπη περιτροπῇ τοῦ ὀρθοῦ μηδαμῶς, σταθερῶς ἐναποτεινόμενον.

Τέλος τοῦ δευτέρου λόγου.

IOHANNES CHAMETES

DE OPERE GEORGII METOCHITAE

Angeli Maii morem secuti, qui nullam in libris suis supervacaneam edi paginam patiebatur, et si quid spatii typi in chartis relinquebant, statim aliquo occupare satagebat παρέργῳ, nos quoque in hac reliqua editionis pagella aliquid haud inopportunum adiungere constituimus. Libris hisce Georgii Metochitae olim argumentum apposuit Iohannes Chametes qui ibidem subscripsit se sacerdotem et chartophylacem Chiensem magnumque archimandritam magnae Ecclesiae. Fortasse authographon est huius argumenti scriptum, quod in fronte Codicis Vaticani 1583 a manu non modo diversa, sed et recentiore, quam ea codicis totius, adiectum est. Hinc certe Leo Allatius (Diatriba de Georgiis-De Consensu) *hoc deprompsit scriptum; attamen Maius idem graece manu sua exscripsit, una alteraque notula locupletavit, atque in latinum marte suo transtulit. Nos hanc ineditam Maii versionem hic edituri, tum ipsius Maii, tum etiam eruditorum virorum obsequi desiderio censemus, si una cum hac nova versione graecum quoque textum ex ipso codice et iuxta maianas curas exhibeamus.*

Αὕτη ἡ βίβλος Γεωργίου τοῦ Μετοχίτου διαλαμβάνει τὰ αἴτια καὶ τὰς ἀρχάς, δι' ἃς οἱ γραῖκοι ἀπέκοψαν τὸ τοῦ ἁγιωτάτου Πάπα μνημόσυνον· ὡς ἐγένετο διὰ φιλαρχίας ἧς ἤρξατο Φώτιος. πρὸς ἔτι δὲ καὶ τὸν τόμον ὃν ὁ Κύπριος πατριαρχεύων καὶ τὰς τῆς ἀνατολικῆς ἐκκλησίας ἡνίας παρανόμως ἔχων σὺν τοῖς αὐτοῦ συνθιασώταις κατὰ τῆς δυτικῆς ἐκκλησίας φιλαρχῶν ἀπειργάσατο· ἐφ' ᾧπερ παρανόμῳ καὶ ἀθέσμῳ κακίστῳ τόμῳ ὁ πρώην τῆς ἀνατολικῆς ἐκκλησίας ἀρχιερεὺς Ἰωσὴφ *) τοὔνομα σὺν τῷ μεγάλῳ χαρτοφύλακι τῆς αὐτῆς μεγάλης ἐκκλησίας καὶ τῷ προῤῥηθέντι διακόνῳ τῷ Μετοχίτῃ, τῇ εἱρκτῇ ἐνεβλήθησαν διὰ τὸ μὴ ὑπογράψαι αὐτοὺς ἐν τῷ αὐτῶν κακῶς εἰς τὴν τῶν ἐκκλησιῶν διαίρεσιν ἐκτεθέντι τόμῳ. οὗ ἕνεκεν ὁ αὐτὸς διάκονος Μετοχίτης ἐν φυλακῇ διάγων οἰκτρῶς τὸ παρὸν βιβίλον εἰς ἔνδειξιν τῆς ἀληθείας ἀρίστως ἐγράψατο, καὶ τὰ κακῶς παρ' αὐτῶν ἐκτεθέντα καὶ τυπωθέντα ἐντέχνως καὶ σοφῶς ἀνεσκεύασε. Καὶ πρώτιστον τὸν τῆς δυτικῆς ἐκκλησίας π'ντων ἀρχιερέων ἀνέδειξε· καὶ διὰ μαρτυρίας τῶν θείων καὶ ἁγίων προαπελθόντων πατέρων ἀπεφήνατο ὡς τὸ θεῖον καὶ πανάγιον Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, καὶ οὐκ εἰσὶ δύο αἴτια οὐδὲ ἀρχαὶ δύο, ἀλλ' ἡ μία καὶ ἡ αὐτὴ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἀρχὴ καὶ αἰτία ἐκπορεύει **) τὸ Πνεῦμα τὸ ἅγιον καθ' ὅσον ἑνοῦται ὁ Υἱὸς τῷ Πατρί, καὶ ὡς πάντα τὰ τοῦ Πατρὸς διαβαίνει φυσικῶς πρὸς τὸν Υἱόν, κατὰ τὸν θεῖον καὶ πνευματοφόρον πατέρα τὸν Κύριλλον.

Ἱερεὺς Ἰωάννης Χαμέτης χαρτοφύλαξ Χίου καὶ μέγας ἀρχιμανδρίτης τῆς μεγάλης ἐκκλησίας.

Hic Georgii Metochitae liber (1) causas et initia continet, cur Graeci deleverint sanctissimi Papae commemorationem; id quod ambitione actum fuit, cuius antisignanus Photius. Continet praeterea tomum, quem Cyprius dum esset patriarcha et orientalis ecclesiae habenas contra fas teneret, cum suis consectaneis adversus occidentalem ecclesiam confecit. Cui iniquo nefario pessimoque libello quum Iohannes orientalis pontifex cum magno eiusdem magnae Ecclesiae chartophylace (2) praedictoque diacono Metochita subscribere noluissent, utpote malitiose ob scindendans ecclesias composito, in carcerem coniecti fuere. Proptereaque idem diaconus Metochita in vinculis aerumnose degens praesentem librum ob veritatem demonstrandam egregie conscripsit; et quae illi prave edixerant ac decreverant perite sapienterque refutavit. Et occidentalis quidem ecclesiae pontificem, summum inter episcopos esse ostendit. Deinde congestis divorum sanctorumque praeteritae aetatis patrum testimoniis patefecit sanctissimum Spiritum ex Patre Filioque procedere, neque duas eius esse causas neque principia duo, sed unum idemque Patris Filiique principium et causa Spiritum sanctum emittit; quatenus nimirum coniunctus est Patri Filius, et quia Patris omnia in Filium transeunt, iuxta divi inspiratique patris Cyrilli doctrinam.

Sacerdos Iohannes Chametes Chii chartophylax et magnae ecclesiae magnus archimandrita.

*) Auctor huius argumenti mendose Ἰωσήφ: sed Iohannes (Veccus) fuit a nobis substituendus. A. M. — **) Ita codex activo sensu, quod non recte fieri docent apud Allatium(Gr. Orth. I, 245, II, 1018) Veccus et Metochita noster. A. M.— (1) *Nomine libri hic intelligendum est totum volumen, quod hos tres Metochitae λόγους a Maio libros* Historiae dogmaticae *appellatos complectitur.* I. C.— (2) *Strenuus iste constantinopolitanus chartophylax erat Constantinus Meletiniota.*I.C.